www.tezaurliturgic.ro
A-PDF Merger DEMO : Purchase from www.A-PDF.com to remove the watermark

# ΑΚΟΛΟΥΘΙΑ
## ΤΟΥ ΑΓΙΟΥ ΕΝΔΟΞΟΥ ΜΕΓΑΛΟΜΑΡΤΥΡΟΣ
# ΑΓΑΘΟΝΙΚΟΥ

ΕΓΚΡΙΣΕΙ ΤΗΣ ΙΕΡΑΣ ΣΥΝΟΔΟΥ ΤΗΣ ΕΚΚΛΗΣΙΑΣ ΤΗΣ ΕΛΛΑΔΟΣ

ΕΚΔΙΔΟΜΕΝΗ ΝΥΝ ΤΟ ΠΡΩΤΟΝ
ΥΠΟ
ΜΗΤΡΟΠΟΛΙΤΟΥ ΚΑΛΑΒΡΥΤΩΝ ΚΑΙ ΑΙΓΙΑΛΕΙΑΣ
ΑΓΑΘΟΝΙΚΟΥ



ΕΝ ΑΘΗΝΑΙΣ 1953

www.tezaurliturgic.ro

www.tezaurliturgic.ro

# ΑΚΟΛΟΥΘΙΑ
## ΤΟΥ ΑΓΙΟΥ ΕΝΔΟΞΟΥ ΜΕΓΑΛΟΜΑΡΤΥΡΟΣ
# ΑΓΑΘΟΝΙΚΟΥ

ΕΓΚΡΙΣΕΙ ΤΗΣ ΙΕΡΑΣ ΣΥΝΟΔΟΥ ΤΗΣ ΕΚΚΛΗΣΙΑΣ ΤΗΣ ΕΛΛΑΔΟΣ

ΕΚΔΙΔΟΜΕΝΗ ΝΥΝ ΤΟ ΠΡΩΤΟΝ
ΥΠΟ
ΜΗΤΡΟΠΟΛΙΤΟΥ ΚΑΛΑΒΡΥΤΩΝ ΚΑΙ ΑΙΓΙΑΛΕΙΑΣ
ΑΓΑΘΟΝΙΚΟΥ



ΕΝ ΑΘΗΝΑΙΣ 1953

www.tezaurliturgic.ro

ΕΚ ΤΟΥ ΤΥΠΟΓΡΑΦΕΙΟΥ ΤΗΣ ΑΠΟΣΤΟΛΙΚΗΣ ΔΙΑΚΟΝΙΑΣ ΤΗΣ ΕΚΚΛΗΣΙΑΣ ΤΗΣ ΕΛΛΑΔΟΣ

www.tezaurliturgic.ro

ΒΑΣΙΛΕΙΟΝ ΤΗΣ ΕΛΛΑΔΟΣ

# ΙΕΡΑ ΣΥΝΟΔΟΣ
# ΤΗΣ ΕΚΚΛΗΣΙΑΣ ΤΗΣ ΕΛΛΑΔΟΣ

Ἀριθ. { Πρωτ. 98 / Διεκπ. 447 }

Ἀθήνῃσι 5 Φεβρουαρίου 1953

Πρός
Τὸν Σεβασμιώτατον Μητροπολίτην Καλαβρύτων καὶ Αἰγιαλείας
κ. ΑΓΑΘΟΝΙΚΟΝ

Σεβασμιώτατε ἐν Χριστῷ ἀδελφέ,

Ἡ Ἱερὰ Σύνοδος ἐν τῇ συνεδρίᾳ Αὐτῆς τῆς 27 Ἰανουαρίου ἐ. ἔ. ἔλαβε γνῶσιν τοῦ ὑπ' ἀριθ. 39 καὶ ἀπὸ 12-1-53 ὑμετέρου ἐγγράφου, δι' οὗ, διαβιβάζοντες Ἀκολουθίαν τοῦ Ἁγίου Μάρτυρος Ἀγαθονίκου, παρακαλεῖτε ὅπως ἐγκρίνῃ ταύτην. Ἀναθέσασα δὲ τὴν μελέτην αὐτῆς εἰς τὸν ἐκ τῶν Συνοδικῶν Συνέδρων Σεβ. Μητροπολίτην Φιλίππων καὶ Νεαπόλεως κ. Χρυσόστομον ἐπληροφορήθη παρ' αὐτοῦ, ἐν τῇ συνεδρίᾳ Αὐτῆς τῆς 3 Φεβρουαρίου ἐ. ἔ. ὅτι ἡ «ἀναπληρωθεῖσα» παρ' ὑμῶν Ἱερὰ ὡς ἄνω Ἀκολουθία οὐδὲν περιέχει τὸ ἀπᾷδον πρός τε τὰ δόγματα καὶ τὴν παράδοσιν τῆς Ἐκκλησίας ἡμῶν καὶ πρὸς τὴν Ἐκκλησιαστικὴν ἐν γένει παρ' ἡμῖν Ἱερὰν ὑμνογραφίαν.

Ὅθεν, Συνοδικῇ διαγνώμῃ, γνωρίζομεν ὑμῖν ὅτι ἐγκρίνεται ἡ παρ' ὑμῶν συμπληρωθεῖσα Ἱερὰ Ἀκολουθία τοῦ Ἁγίου Μάρτυρος Ἀγαθονίκου, ἡ τύποις ἔκδοσις αὐτῆς, καὶ ἡ χρῆσις ἐν τοῖς Ἱεροῖς Ναοῖς.

Ἐπὶ τούτοις κατασπαζόμενοι τὴν Ὑμετέραν Σεβασμιότητα ἐν Κυρίῳ, διατελοῦμεν μετ' ἀγάπης

† Ο ΜΥΤΙΛΗΝΗΣ ΙΑΚΩΒΟΣ, Προεδρεύων

Ὁ Ἀρχιγραμματεύς
Ἀρχιμ. Χρυσόστομος Θέμελης

www.tezaurliturgic.ro

www.tezaurliturgic.ro




Ο ΑΓΙΟΣ ΜΕΓΑΛΟΜΑΡΤΥΣ
ΑΓΑΘΟΝΙΚΟΣ

*(Τοιχογραφία Ἱ. Μονῆς Φανερωμένης Σαλαμῖνος ιη' αἰ.)*

www.tezaurliturgic.ro

www.tezaurliturgic.ro

ΤΗι ΙΕΡΑι ΜΝΗΜΗι

ΤΩΝ ΥΠΟ ΤΩΝ ΓΕΡΜΑΝΩΝ ΑΝΑΙΡΕΘΕΝΤΩΝ ΠΝΕΥΜΑΤΙΚΩΝ ΗΜΩΝ ΤΕΚΝΩΝ

ΔΕΚΑ ΕΝΝΕΑ ΑΔΕΛΦΩΝ ΤΗΣ Ι. ΜΟΝΗΣ ΤΟΥ ΜΕΓΑΛΟΥ ΣΠΗΛΑΙΟΥ
(† 8 Δεκεμβρίου 1943)

ΠΕΝΤΕ ΑΔΕΛΦΩΝ ΤΗΣ Ι. ΜΟΝΗΣ ΑΓΙΑΣ ΛΑΥΡΑΣ
(† 14 Δεκεμβρίου 1943)

ΚΑΙ ΥΠΕΡΧΙΛΙΩΝ ΚΑΛΑΒΡΥΤΙΝΩΝ
(† 13 Δεκεμβρίου 1943)

www.tezaurliturgic.ro

www.tezaurliturgic.ro

# Π Ρ Ο Λ Ο Γ Ο Σ

Η ἔλλειψις πλήρους ᾀσματικῆς Ἀκολουθίας τοῦ Ἁγίου ἐνδόξου μεγαλομάρτυρος τοῦ Χριστοῦ Ἀγαθονίκου, ἐδυσχέραινε τὸν πανηγυρικὸν τῆς μνήμης αὐτοῦ ἑορτασμόν.

Ὅθεν, ἐξ εὐλαβείας καὶ ὀφειλομένης πρὸς τὸν ἐπώνυμον ἡμῶν Ἅγιον καὶ προστάτην τιμῆς, προβαίνομεν, ἐγκρίσει τῆς Ἱερᾶς ἡμῶν Συνόδου, εἰς τὴν ἔκδοσιν τῆς μετὰ χεῖρας Ἀκολουθίας. Αὕτη ἀποτελεῖ ἀναπλήρωσιν τῆς ἐν τῷ Μηναίῳ ἐλλιποῦς Ἀκολουθίας, γενομένην, τῇ ἡμετέρᾳ προτροπῇ, ὑπὸ τοῦ γνωστοῦ ἤδη καὶ ἐξ ἄλλων ὑμνογραφικῶν αὐτοῦ ἐργασιῶν δοκίμου ᾀσματογράφου Ἁγιορείτου Μοναχοῦ Γερασίμου Μικραγιαννανίτου. Ἐν τέλει τῆς Ἀκολουθίας ταύτης προσεθέσαμεν τὴν ἐπὶ τῇ βάσει παλαιῶν μαρτυρικῶν ἀφηγήσεων συνταχθεῖσαν καὶ τὸ πρῶτον νῦν ἐκδιδομένην βιογραφίαν τοῦ Ἁγίου μετ' ἀνεκδότου μέχρι τοῦδε Μαρτυρίου ἐκ τοῦ κώδικος Ω 154 (φ. 415β - 421β) τοῦ ιζ' αἰῶνος (1668) τῆς ἐν Ἄθῳ Λαυριωτικῆς Βιβλιοθήκης καὶ τῶν εἰς τὸν Ἅγιον πανηγυρικῶν Ἐγκωμίων τοῦ Ἀναστασίου Κυαίστορος, τοῦ ι' αἰῶνος καὶ τοῦ Ἀρχιεπισκόπου Σηλυβρίας Φιλοθέου, τοῦ ιδ' αἰῶνος.

Εὐχαριστοῦντες καὶ ἀπὸ τῆς θέσεως ταύτης τὸν ἐμπνευσμένον ὑμνογράφον, θεωροῦμεν ἡμᾶς αὐτοὺς εὐτυχεῖς διότι ἀξιούμεθα νὰ θέσωμεν εἰς χεῖρας τῶν εὐσεβῶν φιλακολούθων τὴν παροῦσαν ἔκδοσιν καὶ ἐπικαλούμεθα ἐπὶ πάντας τὴν εὐλογίαν τοῦ Ἁγίου.

† Ὁ Καλαβρύτων καὶ Αἰγιαλείας ΑΓΑΘΟΝΙΚΟΣ

Ἐν Καλαβρύτοις τῇ 25 Μαρτίου 1953

www.tezaurliturgic.ro

www.tezaurliturgic.ro

ΑΥΓΟΥΣΤΟΥ ΚΒʹ.

ΜΝΗΜΗ ΤΟΥ ΑΓΙΟΥ ΕΝΔΟΞΟΥ ΜΕΓΑΛΟΜΑΡΤΥΡΟΣ

# ΑΓΑΘΟΝΙΚΟΥ

## ΕΝ Τῼ ΜΙΚΡῼ ΕΣΠΕΡΙΝῼ

Ἱστῶμεν στίχους δʹ καὶ ψάλλομεν τὰ ἑξῆς Προσόμοια.

Ἦχος αʹ. Τῶν οὐρανίων Ταγμάτων.

Ἀγαθονίκου τὴν μνήμην πανηγυρίσωμεν· τὸν ἀγαθὸν γὰρ οὗτος, ἀγαπήσας Δεσπότην, ἐνήθλησε νομίμως ὑπὲρ αὐτοῦ, ἐνεγκὼν τὰ ἐπίπονα· καὶ δοξασθεὶς κατ' ἀξίαν παρὰ Χριστοῦ, ἱκετεύει τοῦ σωθῆναι ἡμᾶς.

Τῆς εὐσεβείας ἐκλάμπων τοῖς κατορθώμασι, τῆς πίστεως τῷ λόγῳ, πρὸς ἐπίγνωσιν θείαν, Χριστοῦ τοῦ ζωοδότου πλείστας ψυχάς, ἀθλοφόρε ὡδήγησας, καὶ ἀριστεύσας ἀγῶσι μαρτυρικοῖς, θείᾳ δόξῃ τεθαυμάστωσαι.

Μαρτυρικῶς ἀθλοφόρε ἀγωνιζόμενος, πεῖραν πολλῶν μαστίγων καὶ κινδύνων ὑπέστης, καὶ ἐκ Νικομηδείας τυραννικῇ ἀπαχθεὶς ἰταμότητι, ἐν Σηλυβρίᾳ ἐτμήθης τὴν κεφαλήν, Ἀγαθόνικε πολύαθλε.

Τῶν ἀγαθῶν κληρονόμος τῶν ὑπὲρ ἔννοιαν, γεγενημένος μάρτυς, ἐκδυσώπει ἀπαύστως, μετὰ τῶν συμμαρτύρων σου τῶν στερρῶν, ἀθλητὰ Ἀγαθόνικε, ὑπὲρ ἡμῶν τῶν ὑμνούντων τὴν ἱεράν, καὶ σεβάσμιόν σου ἄθλησιν.

Δόξα. Ἦχος βʹ.

Τοῖς ἔργοις τοῦ φωτὸς λελαμπρυσμένος, τὸ φῶς τὸ ἀληθινὸν ὑπέδειξας, Χριστὸν τὸν Σωτῆρα, τοῖς ἐν σκότει τῆς πλάνης κειμένοις, Ἀγαθόνικε ἔνδοξε· καὶ τὸ ὑπὲρ αὐτοῦ μαρτύριον, μεγα-

www.tezaurliturgic.ro



λοφρόνως δεξάμενος, περιφανῶς ἠνδραγάθησας, τῆς εὐσεβείας τοῖς σκάμμασι· διὸ ὁ ἀθλοθέτης σε Κύριος, οὐρανίαις δωρεαῖς ἐπλούτισε, καὶ ἀφθαρσίας στέφει ἔστειλεν. Αὐτὸν ἱκέτευε ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

Καὶ νῦν. Ὁ αὐτός.

Ἡ τῶν οὐρανῶν ὑψηλοτέρα ὑπάρχουσα, καὶ τῶν Χερουβὶμ ἐνδοξοτέρα, καὶ πάσης κτίσεως τιμιωτέρα· ἡ δι' ὑπερβάλλουσαν καθαρότητα, τῆς ἀϊδίου οὐσίας δοχεῖον γεγενημένη, ἐν ταῖς τοῦ Υἱοῦ χερσί, σήμερον τὴν παναγίαν παρατίθεται ψυχήν, καὶ σὺν αὐτῇ πληροῦται τὰ σύμπαντα χαρᾶς, καὶ ἡμῖν δωρεῖται τὸ μέγα ἔλεος.

Ἀπόστιχα

Ἦχος β'. Οἶκος τοῦ Ἐφραθᾶ.

Ἤθλησας ἀνδρικῶς, καὶ ᾔσχυνας τὴν πλάνην, ἔργῳ καὶ λόγῳ μάρτυς· διὸ σὲ ἀνυμνοῦμεν, παμμάκαρ Ἀγαθόνικε.

Στίχ. Δίκαιος ὡς φοῖνιξ ἀνθήσει . . .

Νίκην περιφανῆ, κατὰ τῶν ἀντιπάλων, ἐγείρας Ἀθλοφόρε, νικητικοῖς βραβείοις, παρὰ Χριστοῦ τετίμησαι.

Στίχ. Θαυμαστὸς ὁ Θεὸς . . .

Ξίφει τὴν κεφαλήν, τμηθεὶς μεγαλομάρτυς, μεγάλων χαρισμάτων, θεόθεν ἠξιώθης, θεόφρον Ἀγαθόνικε.

Δόξα. Τριαδικόν.

Δόξης Τριαδικῆς, οὐσίας τῆς τριφώτου, τὴν ἔλλαμψιν κηρύξας, ὑπὲρ αὐτῆς παμμάκαρ, τὸ αἷμά σου ἐξέχεας.

Καὶ νῦν. Θεοτοκίον.

Ἤρθης πρὸς οὐρανόν, Παρθένε μετὰ δόξης, καὶ ἔλεος καὶ χάριν, παρέχεις τοῖς αἰνοῦσι, τὴν θείαν σου μετάστασιν.

Νῦν ἀπολύεις, τὸ τρισάγιον, τὸ Ἀπολυτίκιον ἐκ τοῦ Μεγάλου Ἑσπερινοῦ καὶ Ἀπόλυσις.

www.tezaurliturgic.ro

## ΕΝ ΤΩι ΜΕΓΑΛΩι ΕΣΠΕΡΙΝΩι

Μετὰ τὸν Προοιμιακόν, τό, Μακάριος ἀνήρ. Εἰς δὲ τό, Κύριε ἐκέκραξα ἱστῶμεν στίχους στ´ καὶ ψάλλομεν τὰ ἑξῆς Προσόμοια τοῦ Ἁγίου.

Ἦχος δ´. Ἔδωκας σημείωσιν.

Πρώτην ἀγαθότητα, καὶ ὑπὲρ νοῦν ὡραιότητα, ἐκζητῶν Ἀγαθόνικε, χαίρων προσεχώρησας, πρὸς τοὺς προκειμένους, γενναίους ἀγῶνας· καὶ συμπλακεὶς τῷ δυσμενεῖ, ἀνδρειοτάτως εἰς γῆν κατέρραξας, καὶ νίκης τὸ φαιδρότατον, προσανεπλέξω διάδημα, δυσωπῶν τὸν φιλάνθρωπον, ὑπὲρ τῶν ἀνυμνούντων σε.

Σοφίᾳ κοσμούμενος, λόγον ζωήρρυτον ἔβλυσας, ἐπιστρέφων τοὺς ἄφρονας, ἐλέγχων τὸν τύραννον, τῆς πολυθεΐας, ζάλην κατευνάζων, ἐπιστηρίζων τοὺς πιστούς, προσεπιμένειν τῇ θείᾳ χάριτι· διὸ τὰ χαλεπώτατα, ὑπενεγκὼν πειρατήρια, πρὸς τὰ ἄνω βασίλεια, στεφηφόρος ἀνέδραμες.

Αἵματι σταζόμενος, τῆς καρτερᾶς σου ἀθλήσεως, τῷ Δεσπότῃ παρέστηκας, θῦμα εὐωδέστατον, καθαρᾷ θυσίᾳ, εὐπρόσδεκτον δῶρον, ἱερωτάτη προσφορά, καὶ ἱερεῖον τέλειον ἄμωμον· διὸ ταῖς ἱκεσίαις σου, τῆς Ἐκκλησίας τὸ πλήρωμα, ἐν εἰρήνῃ συντήρησον, ἀθλητὰ Ἀγαθόνικε.

Προσόμοια ἕτερα.

Ἦχος ὁ αὐτός. Ὡς γενναῖον ἐν μάρτυσι.

Ὡς τῆς νίκης ἐπώνυμος, ἀθλητὰ Ἀγαθόνικε, τοῦ ἐχθροῦ νενίκηκας τὴν παράταξιν· λόγοις καὶ ἔργοις γὰρ ἔνδοξε, καὶ θείοις παλαίσμασιν, ἀσθενείᾳ τῆς σαρκός, εὐσεβείας τὴν δύναμιν

www.tezaurliturgic.ro



πᾶσιν ἔδειξας, νικηφόρος γενόμενος ἐν ἄθλοις, καὶ τῆς νίκης ὑπερλάμπων, τὰ ὑπὲρ λόγον δωρήματα.

Καὶ τυπτόμενος ἔνδοξε, καὶ εἱρκταῖς καθειργνύμενος ἀνενδότως ἔφερες τὰ ἐπίπονα, καὶ ἀπὸ τόπου συρόμενος, εἰς τόπον ὡς δέσμιος, δι᾽ ἀγάπην τοῦ Χριστοῦ, Ἀγαθόνικε πάνσοφε, ξίφει τέτμησαι, ἐν τῇ πόλει στερρῶς τῆς Σηλυβρίας, καὶ ὡς θῦμα πανευῶδες, Χριστῷ προσήχθης γηθόμενος.

Θεοφθόγγοις σου ῥήμασι, τῷ Χριστῷ προσενήνοχας, ὥσπερ δῶρον ἅγιον Ἀγαθόνικε, καὶ ὁλοκάρπωμα τέλειον, τὸν ἔνδοξον πρίγκιπα, καὶ συνδέσμιον αὐτόν, ἐσχηκὼς τῇ ἀθλήσει σου, καθικέτευε, σὺν αὐτῷ καὶ τοῖς ἄλλοις ἀθλοφόροις, μεθ᾽ ὧν ἤθλησας νομίμως, ὑπὲρ ἡμῶν τὸν Φιλάνθρωπον.

Δόξα. Ἦχος α΄ Ἀνατολίου.

Φερωνύμως ἐκλήθης, τῆς ἀγαθῆς νίκης ἐπώνυμος, Ἀγαθόνικε πολύαθλε· τῷ γὰρ θείῳ ἔρωτι τρωθείς, εἰδωλικὴν ἀπάτην, καὶ τυραννικὴν πλάνην ἀπαρνησάμενος, πρὸς ζωὴν τὴν ἀμείνω παραδόξως μεταβέβηκας· διὸ ἐν τῇ ἐνδόξῳ σου μνήμῃ, παρρησίαν ἔχων πρὸς αὐτόν, ἱκέτευε σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Καὶ νῦν. Ἦχος ὁ αὐτός. Τῆς Ἑορτῆς.

Ἔπρεπε τοῖς αὐτόπταις τοῦ Λόγου καὶ ὑπηρέταις, καὶ τῆς κατὰ σάρκα Μητρὸς αὐτοῦ, τὴν Κοίμησιν ἐποπτεῦσαι, τελευταῖον οὖσαν ἐπ᾽ αὐτῇ μυστήριον· ἵνα μὴ μόνον τὴν ἀπὸ γῆς τοῦ Σωτῆρος ἀνάβασιν θεάσωνται, ἀλλὰ καὶ τῆς τεκούσης αὐτὸν τῇ μεταθέσει μαρτυρήσωσι· Διό περ πάντοθεν, θείᾳ δυνάμει περαιωθέντες, τὴν Σιὼν κατελάμβανον· καὶ πρὸς οὐρανὸν ἐπειγομένην, προέπεμπον τὴν ἀνωτέραν τῶν Χερουβείμ· ἣν καὶ ἡμεῖς, σὺν αὐτοῖς, προσκυνοῦμεν, ὡς πρεσβεύουσαν ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

Εἴσοδος, Φῶς ἱλαρόν, τὸ Προκείμενον τῆς ἡμέρας, καὶ τὰ Ἀναγνώσματα.

www.tezaurliturgic.ro



Προφητείας Ἡσαΐου τὸ Ἀνάγνωσμα.

(Κεφ. μγ', 9—14)

Τάδε λέγει Κύριος· Πάντα τὰ ἔθνη συνήχθησαν ἅμα, καὶ συναχθήσονται ἄρχοντες ἐξ αὐτῶν. Τίς ἀναγγελεῖ ταῦτα; Ἢ τὰ ἐξ ἀρχῆς τίς ἀκουστὰ ποιήσει ἡμῖν; Ἀγαγέτωσαν τοὺς μάρτυρας αὐτῶν καὶ δικαιωθήτωσαν καὶ εἰπάτωσαν ἀληθῆ. Γίνεσθέ μοι μάρτυρες, καὶ ἐγὼ μάρτυς, λέγει Κύριος ὁ Θεός, καὶ ὁ παῖς μου, ὃν ἐξελεξάμην, ἵνα γνῶτε καὶ πιστεύσητε, καὶ συνῆτε ὅτι ἐγώ εἰμι. Ἔμπροσθέν μου οὐκ ἐγένετο ἄλλος Θεός, καὶ μετ' ἐμὲ οὐκ ἔσται. Ἐγὼ ὁ Θεός, καὶ οὐκ ἔστι πάρεξ ἐμοῦ ὁ σῴζων. Ἐγὼ ἀνήγγειλα καὶ ἔσωσα, ὠνείδισα καὶ οὐκ ἦν ἐν ὑμῖν ἀλλότριος. Ὑμεῖς ἐμοὶ μάρτυρες, καὶ ἐγὼ Κύριος ὁ Θεός. Ἔτι ἀπ' ἀρχῆς καὶ οὐκ ἔστιν ὁ ἐκ τῶν χειρῶν μου ἐξαιρούμενος· ποιήσω, καὶ τὶς ἀποστρέψει αὐτό; Οὕτω λέγει Κύριος ὁ Θεός, ὁ λυτρούμενος ἡμᾶς, ὁ Ἅγιος τοῦ Ἰσραήλ.

Σοφίας Σολομῶντος τὸ Ἀνάγνωσμα.

(Κεφ. γ', 1—9)

Δικαίων ψυχαὶ ἐν χειρὶ Θεοῦ, καὶ οὐ μὴ ἅψηται αὐτῶν βάσανος. Ἔδοξαν ἐν ὀφθαλμοῖς ἀφρόνων τεθνάναι, καὶ ἐλογίσθη κάκωσις ἡ ἔξοδος αὐτῶν καὶ ἡ ἀφ' ἡμῶν πορεία σύντριμμα, οἱ δὲ εἰσιν ἐν εἰρήνῃ. Καὶ γὰρ ἐν ὄψει ἀνθρώπων ἐὰν κολασθῶσιν, ἡ ἐλπὶς αὐτῶν ἀθανασίας πλήρης. Καὶ ὀλίγα παιδευθέντες, μεγάλα εὐεργετηθήσονται, ὅτι ὁ Θεὸς ἐπείρασεν αὐτοὺς καὶ εὗρεν αὐτοὺς ἀξίους ἑαυτοῦ· ὡς χρυσὸν ἐν χωνευτηρίῳ ἐδοκίμασεν αὐτούς, καὶ ὡς ὁλοκάρπωμα θυσίας προσεδέξατο αὐτούς. Καὶ ἐν καιρῷ ἐπισκοπῆς αὐτῶν ἀναλάμψουσι, καὶ ὡς σπινθῆρες ἐν καλάμῃ διαδραμοῦνται· κρινοῦσιν ἔθνη, καὶ κρατήσουσι λαῶν, καὶ βασιλεύσει αὐτῶν Κύριος εἰς τοὺς αἰῶνας. Οἱ πεποιθότες ἐπ' αὐτῷ, συνήσουσιν ἀλήθειαν, καὶ οἱ πιστοὶ ἐν ἀγάπῃ προσμενοῦσιν αὐτῷ· ὅτι χάρις καὶ ἔλεος ἐν τοῖς ὁσίοις αὐτοῦ, καὶ ἐπισκοπὴ ἐν τοῖς ἐκλεκτοῖς αὐτοῦ.

Σοφίας Σολομῶντος τὸ Ἀνάγνωσμα.

(Κεφ. ε', 15—στ', 3)

Δίκαιοι εἰς τὸν αἰῶνα ζῶσι, καὶ ἐν Κυρίῳ ὁ μισθὸς αὐτῶν, καὶ ἡ φροντὶς αὐτῶν παρὰ Ὑψίστῳ. Διὰ τοῦτο λήψονται τὸ

www.tezaurliturgic.ro



βασίλειον τῆς εὐπρεπείας, καὶ τὸ διάδημα τοῦ κάλλους ἐκ χειρὸς Κυρίου, ὅτι τῇ δεξιᾷ σκεπάσει αὐτούς, καὶ τῷ βραχίονι ὑπερασπιεῖ αὐτῶν. Λήψεται πανοπλίαν τὸν ζῆλον αὐτοῦ, καὶ ὁπλοποιήσει τὴν κτίσιν εἰς ἄμυναν ἐχθρῶν· ἐνδύσεται θώρακα δικαιοσύνην καὶ περιθήσεται κόρυθα κρίσιν ἀνυπόκριτον. Λήψεται ἀσπίδα ἀκαταμάχητον ὁσιότητα, ὀξυνεῖ δὲ ἀπότομον ὀργὴν εἰς ρομφαίαν, συνεκπολεμήσει δὲ αὐτῷ ὁ κόσμος ἐπὶ τοὺς παράφρονας. Πορεύσονται εὔστοχοι βολίδες ἀστραπῶν καὶ ὡς ἀπὸ εὐκύκλου τόξου τῶν νεφῶν ἐπὶ σκοπὸν ἁλοῦνται, καὶ ἐκ πετροβόλου θυμοῦ πλήρεις ριφθήσονται χάλαζαι. Ἀγανακτήσει κατ' αὐτῶν ὕδωρ θαλάσσης, ποταμοὶ δὲ συγκλύσουσιν ἀποτόμως. Ἀντιστήσεται αὐτοῖς πνεῦμα δυνάμεως καὶ ὡς λαῖλαψ ἐκλικμήσει αὐτούς. Καὶ ἐρημώσει πᾶσαν τὴν γῆν ἀνομία, καὶ ἡ κακοπραγία περιτρέψει θρόνους δυναστῶν. Ἀκούσατε οὖν, Βασιλεῖς, καὶ σύνετε· μάθετε, δικασταὶ περάτων γῆς. Ἐνωτίσασθε οἱ κρατοῦντες πλήθους, καὶ γεγαυρωμένοι ἐπὶ ὄχλοις ἐθνῶν· ὅτι ἐδόθη παρὰ τοῦ Κυρίου ἡ κράτησις ὑμῖν καὶ ἡ δυναστεία παρὰ Ὑψίστου.

### Εἰς τὴν Λιτήν, Ἰδιόμελα. Ἦχος α΄.

Φερωνυμίᾳ σεμνυνόμενος, τοῖς πράγμασιν ἐπλήρωσας, τὸ τυπωθέν σοι τῇ κλήσει· τὸν ἀγαθὸν γὰρ Δεσπότην, ἀγαπήσας ἀπὸ ψυχῆς, τούτῳ ἠκολούθησας, Ἀγαθόνικε μάρτυς· καὶ ἐν τῷ βίῳ θεόληπτος φανείς, καὶ ἐν ἀθλήσει ἀριστεύσας εὐκλεῶς, τῆς ἀγαθῆς νίκης τὸ στέφος εἴληφας· καὶ τῶν ἀϊδίων ἀγαθῶν κληρονόμος γεγονώς, σὺν τοῖς συνάθλοις σου κράζεις. Κύριε δόξα σοι.

### Ἦχος β΄.

Τοῦ φωτὸς ἐνδεδυμένος τὰ ὅπλα, τὸν τοῦ σκότους ἐτροπώσω ἄρχοντα, ἀθλητὰ Ἀγαθόνικε· καὶ τοὺς ὑπ' αὐτοῦ δεδουλωμένους, τῇ τοῦ Χριστοῦ ἐλευθερίᾳ προσήγαγες, ἀποστολικῷ σου λόγῳ· θεία γὰρ χάρις ἐκκέχυται, τοῖς χείλεσί σου μάρτυς, καὶ τὴν ὁδὸν τῆς σωτηρίας ὑπέδειξας, τοῖς ἐν τρίβοις τῆς ἀπωλείας· καὶ ἀθλῶν γενναιοφρόνως τῷ ἐνδυναμοῦντί σε Χριστῷ ἐβόας· Κύριε δόξα σοι.

www.tezaurliturgic.ro



Ἦχος γ΄.

Τοῦ μαρτυρίου διανύων τὴν ὁδόν, ἐν πλατυσμῷ θείας ἀγάπης, τὰς τοῦ ἐχθροῦ ἀπεστένωσας, σκολιὰς πορείας Ἅγιε· ἐκ Νικομηδείας γὰρ δεσμώτης ἀπαχθείς, τυραννικῇ μανίᾳ, πλείστους τόπους καθηγίασας, μακραῖς πορείαις ὑποβαλλόμενος, καὶ κινδύνοις καὶ θλίψεσιν ὁμιλῶν· ὅθεν ὡς μύρον εὔοσμον, καὶ δρόσον οὐράνιον, τὸ χυθὲν αἷμά σου, ἡ Σηλυβρία ἐδέξατο, τῷ σὲ δοξάσαντι Χριστῷ βοῶσα· Κύριε δόξα σοι.

Ἦχος δ΄.

Μαρτυρικὴ χορεία ἀήττητος, ἐν δυνάμει πίστεως ἀνδραγαθήσασα, καὶ τὸν Χριστὸν δοξάσασα, εἰς εὐφημίαν ἡμῖν πρόκειται· Ἀγαθόνικος γὰρ ὁ θεοειδής, ὁ πλήρης χάριτος καὶ σοφίας, τὰ ἀγαθὰ τοῦ Εὐαγγελίου τῆς εἰρήνης εὐαγγελισάμενος, πρίγκιπα τὸν θεῖον, μιμητὴν αὐτοῦ ἐκτήσατο· μεθ' ὧν συνεκλάμπουσι Ζωτικὸς καὶ Ζήνων οἱ ἀοίδιμοι, Θεοπρέπιος καὶ Ἀκίνδυνος, καὶ Σεβηριανὸς οἱ θεόφρονες· καὶ πρεσβεύουσιν ἀπαύστως, ὑπὲρ τῶν πίστει βοώντων· Κύριε δόξα σοι.

Δόξα. Ὁ αὐτός.

Τὸν ἐν ἀθλήσει περιφανῆ, καὶ ἐν εὐσεβείᾳ θεόσοφον, Ἀγαθόνικον τὸν μέγαν, φιλομαρτύρων οἱ δῆμοι τιμήσωμεν· σοφίᾳ γὰρ κατηγλαϊσμένος, καταλλήλως διέπρεψε· καὶ τὸν ἀθλητικὸν ἀγῶνα, καλῶς ἀγωνισάμενος, τὸ τῆς νίκης γέρας, παρὰ Χριστοῦ ἐδέξατο, πρεσβεύων ἀπαύστως, ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

Καὶ νῦν. Ὁ αὐτός.

Τὴν πάνσεπτόν σου Κοίμησιν, Παναγία Παρθένε ἁγνή, τῶν Ἀγγέλων τὰ πλήθη ἐν οὐρανῷ, καὶ ἀνθρώπων τὸ γένος ἐπὶ τῆς γῆς μακαρίζομεν· ὅτι Μήτηρ γέγονας τοῦ ποιητοῦ τῶν ἁπάντων Χριστοῦ τοῦ Θεοῦ. Αὐτὸν ἱκετεύουσα, ὑπὲρ ἡμῶν μὴ παύσῃ, δεόμεθα, τῶν εἰς σὲ μετὰ Θεόν, τὰς ἐλπίδας θεμένων, Θεοτόκε πανύμνητε, καὶ ἀπειρόγαμε.

www.tezaurliturgic.ro



Εἰς τὸν Στίχον Στιχηρὰ Προσόμοια.

Ἦχος πλ. α΄. Χαίροις ἀσκητικῶν.

Χαίροις ὁ ἀθλητὴς τοῦ Χριστοῦ, ὁ ἀριστεύσας τῷ τῆς πίστεως σκάμματι, καὶ πάσας καταπαλαίσας, τὰς παρατάξεις ἐχθροῦ, συμμαχίᾳ θείᾳ Ἀγαθόνικε· ἀγάπῃ τῇ θείᾳ γάρ, πτερωθεὶς τὴν διάνοιαν, στερρῶς παρεῖδες, τῆς σαρκὸς τὰ ἐπίπονα, ἀρνησάμενος σεαυτὸν νοΐ κρείττονι· ὅθεν λαμπρῶς δεδόξασαι, ὡς μάρτυς ἀήττητος, καὶ ἀγαθῶν αἰωνίων, θεουργικῶς κατηξίωσαι, Χριστὸν ἱκετεύων, ταῖς ψυχαῖς ἡμῶν δοθῆναι, τὸ μέγα ἔλεος.

Στίχ. Δίκαιος ὡς φοῖνιξ ἀνθήσει καὶ ὡσεὶ κέδρος ἡ ἐν τῷ Λιβάνῳ πληθυνθήσεται.

Αἴγλῃ καταυγασθεὶς θεϊκῇ, λόγον σοφίας ἐκ χειλέων σου ἔβλυσας, ὡς ἴαμα σωτηρίας, καὶ τῷ φωτὶ τοῦ Χριστοῦ, πλείστους ἀθλοφόρε καθωδήγησας· μεθ' ὧν καὶ ἠγώνισαι, τὸν ἀγῶνα τὸν κάλλιστον, τύπος ἀνδρείας, ἐν ἀθλήσει γενόμενος, τούτων ἔνδοξε, εὐψυχίᾳ καὶ χάριτι· ὅθεν τὸν ἀμαράντινον, δεξάμενος στέφανον, σὺν τούτοις πρέσβευε μάρτυς, τὸν Ὑπεράγαθον Κύριον, ὑπὲρ τῶν τιμώντων, Ἀγαθόνικε θεόφρον, τὰς ἀριστείας σου.

Στίχ. Θαυμαστὸς ὁ Θεὸς ἐν τοῖς Ἁγίοις Αὐτοῦ.

Χαίροις τῶν ἀθλητῶν ὁ χορός, λελαμπρυσμένον θεοσύλλεκτον ἄθροισμα, παράταξις οὐρανία, παρεμβολὴ ἱερά, εὐκλεεῖς ὁπλῖται τοῦ Παντάνακτος, σοφὲ Ἀγαθόνικε, ἀθλοφόρων ἀγλάϊσμα, σὺν τῷ πριγκίπῳ, τῷ τὴν πλάνην αἰσχύναντι, Ζωτικὲ κλεινέ, ζωῆς θείας συμμέτοχε, Ζήνων καὶ Σεβηριανέ, Ἀκίνδυνε ἔνδοξε, καὶ Θεοπρέπιε μάκαρ, τῆς Ἐκκλησίας οἱ πρόβολοι· Χριστὸν δυσωπεῖτε, ταῖς ψυχαῖς ἡμῶν δοθῆναι, τὸ μέγα ἔλεος.

Δόξα. Ἦχος πλ. δ΄.

Φερωνύμως τὴν κλῆσιν δεξάμενος, τῶν ἀγαθῶν θησαυρῶν, ναὸν σεαυτὸν καθιέρωσας, μάρτυς Ἀγαθόνικε, τῷ τῶν ἁπάντων βασιλεῖ· καὶ ἐν βασάνοις νομίμως ἀγωνισάμενος τοῦ δεινοῦ Βελίαρ

www.tezaurliturgic.ro



καθεῖλες τὴν δύναμιν· καὶ νίκης ἄρας τρόπαιον, στεφανηφόρος ἐν ὑψίστοις Θεῷ παρίστασαι· ᾧ καὶ πρεσβεύων μὴ ἐλλείπης, ὑπὲρ τῶν σὲ γεραιρόντων, μαρτύρων ἐγκαλλώπισμα.

Καὶ νῦν. Ἦχος ὁ αὐτός. Τῆς Ἑορτῆς.

Παρθενικαὶ χορεῖαι σήμερον, μυστικῶς τῇ κλίνῃ τῆς Παρθένου καὶ Μητρός, κύκλῳ παρίστανται· καὶ ψυχαὶ Δικαίων περιϊπτάμεναι, τὴν Βασιλίδα γεραίρουσιν· αἱ μέν, ὡς προῖκα τὴν παρθενίαν, ἀντὶ μύρου κομίζουσαι· αἱ δέ, τὴν ἄϋλον ὑμνῳδίαν, τὰ τῆς ἀρετῆς προσάγουσαι· πρέπει γὰρ τῇ Μητρὶ τοῦ Θεοῦ, ὡς Βασιλίδα, ταῖς βασιλικαῖς τῶν ἀρετῶν δορυφορεῖσθαι λαμπροφορίαις. Αἷς καὶ ἡμεῖς, βίον καθαρὸν συνεισενεγκόντες, ἐξέλθωμεν πρὸς κηδείαν, τῆς ὄντως Μητρὸς τοῦ Θεοῦ ἡμῶν, ὕμνοις καὶ ᾠδαῖς πνευματικαῖς, αὐτὴν συμφώνως μακαρίζοντες.

Νῦν ἀπολύεις, τὸ Τρισάγιον, καὶ τὸ Ἀπολυτίκιον.

Ἦχος α΄. Τῆς ἐρήμου πολίτης.

Τὸν Σωτῆρα κηρύξας Ἀγαθόνικε ἔνδοξε, ἤθλησας νομίμως θεόφρον, καὶ τὴν πλάνην κατῄσχυνας· ἐντεῦθεν οὐρανίων ἀγαθῶν, ἐγένου Ἀθλοφόρε κοινωνός, πᾶσαν δόσιν ἐξαιτούμενος ἀγαθὴν τοῖς πίστει ἐκβοῶσί σοι· δόξα τῷ δεδωκότι σοι ἰσχύν, δόξα τῷ σὲ στεφανώσαντι, δόξα τῷ ἐνεργοῦντι διὰ σοῦ, πᾶσιν ἰάματα.

Καὶ τὸ τῆς Ἑορτῆς.

Ἐν τῇ Γεννήσει τὴν παρθενίαν ἐφύλαξας. Ἐν τῇ Κοιμήσει τὸν κόσμον οὐ κατέλιπες Θεοτόκε. Μετέστης πρὸς τὴν ζωήν, Μήτηρ ὑπάρχουσα τῆς ζωῆς· καὶ ταῖς πρεσβείαις ταῖς σαῖς λυτρουμένη, ἐκ θανάτου τὰς ψυχὰς ἡμῶν.

Ἀπόλυσις.

www.tezaurliturgic.ro

www.tezaurliturgic.ro

# ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

Μετὰ τὴν α΄ Στιχολογίαν, Καθίσματα.

Ἦχος α΄. Τὸν τάφον σου Σωτήρ.

Ὡς ἄστρον φαεινόν, Ἀγαθόνικε μάρτυς, ἐν μέσῳ τῶν σὺν σοί, ἀθλησάντων Μαρτύρων, ἐξέλαμψας Ἅγιε, εὐσεβείας παλαίσμασι· μεθ' ὧν πρέσβευε, τῇ Παναγίᾳ Τριάδι, δοῦναι ἄφεσιν, ἡμῖν τοῖς πόθῳ τελοῦσι, τὴν πάμφωτον μνήμην σου.

Τῆς Ἑορτῆς.

Χριστοῦ ὁ λογικός, καὶ ὑπέρλαμπρος θρόνος, ἐκ γῆς πρὸς οὐρανόν, μετετέθη ἐν δόξῃ, ἡ μόνη Μητροπάρθενος, καὶ τῶν ὅλων βασίλισσα· ἧς τὴν κοίμησιν, τὴν φωτοφόρον καὶ θείαν, ἀνυμνήσωμεν, χαῖρε αὐτῇ ἐκβοῶντες, Πανάχραντε Δέσποινα.

Μετὰ τὴν β΄ Στιχολογίαν, Καθίσματα.

Ἦχος γ΄. Τὴν ὡραιότητα.

Λόγῳ τῆς χάριτος, ἐκλάμπων ἔνδοξε, ἄθλοις τῆς πίστεως, λαμπρῶς διέπρεψας, καὶ κατεπάλαισας στερρῶς, τὸν ἄρχοντα τῆς κακίας· σὺ γὰρ μαστιζόμενος, καὶ δεσμώτης ἐκ πόλεως, εἰς πόλιν συρόμενος, τοῖς δεσμοῖς σου ἐδέσμευσας, ἐχθροῦ τὰς χαλεπὰς ἐπινοίας, καὶ νίκης, ἐδέξω τὰ βραβεῖα.

Τῆς Ἑορτῆς.

Τὴν σὴν Μετάστασιν, Παρθένε Ἄχραντε, Ἀγγέλων τάγματα, λαμπρῶς δοξάζουσι, τῶν Ἀποστόλων δὲ πληθύς, δυνάμει τῇ τοῦ Υἱοῦ σου, ἐκ περάτων ἔδραμον, παραδόξως πανύμνητε, καὶ τὸ σὸν ἀκήρατον, περιέστειλαν σκήνωμα, βοῶντες τὴν φωνὴν τοῦ Ἀγγέλου· Χαῖρε ἡ Κεχαριτωμένη.

www.tezaurliturgic.ro



Μετὰ τὸν Πολυέλαιον, Καθίσματα.

Ἦχος πλ. δ΄. Τὸ προσταχθέν.

Τὴν ἀγαθὴν ἐν Χριστῷ ἀναστροφήν σου, πεπληρωμένην ἀγαθῶν καρπῶν παμμάκαρ, μαρτυρίου ἐκόσμησας ταῖς ἀνδραγαθίαις· ἐντεῦθεν ὡς ὁλοκάρπωμα λογικόν, προσήχθης τῷ Ἀθλοθέτῃ ξίφει τμηθείς, Ἀγαθόνικε ἔνδοξε. Ὃν καθικέτευε ἀεί, μετὰ τῶν συμμαρτύρων, ὑπὲρ τῶν εὐφημούντων σε.

Τῆς Ἑορτῆς.

Ἀπὸ τῆς γῆς μεταστᾶσα μετὰ δόξης, πρὸς τὴν ζωὴν τὴν ἀκατάλυτον καὶ θείαν, ὡς ζωῆς θησαυρὸς τῆς ἐνυποστάτου, παρέστης ὥσπερ βασίλισσα τοῦ παντός, Παρθένε λελαμπρυσμένη ἐκ δεξιῶν, τοῦ ἐκ σοῦ ἀναλάμψαντος, χάριν παρέχουσα τὴν σήν, τοῖς πόθῳ ἐκβοῶσι σοι· χαῖρε νύμφη ἀνύμφευτε.

Τὸ α΄ Ἀντίφωνον τοῦ δ΄ Ἦχου καὶ τὸ Προκείμενον.

Δίκαιος ὡς φοῖνιξ ἀνθήσει καὶ ὡσεὶ κέδρος ἡ ἐν τῷ Λιβάνῳ πληθυνθήσεται.

Στίχ. Θαυμαστὸς ὁ Θεὸς ἐν τοῖς Ἁγίοις αὐτοῦ.

Εὐαγγέλιον τὸ ἐν τῷ Ὄρθρῳ τοῦ Ἁγίου Γεωργίου.

Ὁ Ν΄. Δόξα. Ταῖς τοῦ Ἀθλοφόρου...

Καὶ νῦν. Ταῖς τῆς Θεοτόκου...

Ἰδιόμελον. Ἦχος πλ. β΄.

Στίχ. Ἐλέησόν με ὁ Θεός...

Τῆς νίκης ἐπώνυμος, ἀθλητὰ γενόμενος, νικητὴς τροπαιοφόρος ἀπεφάνθης, ἐν τῷ καλῷ τῆς πίστεως ἀγῶνι, τῇ ἄνωθεν ῥοπῇ· τὸν γὰρ ἀόρατον ἐχθρὸν κατηγωνίσω, καὶ τῶν τῆς σαρκός, περιεγένου πόνων· καὶ νικηφόρος πρὸς Χριστὸν ἀναδραμών, ἱκέτευε δεόμεθα, Ἀγαθόνικε μάρτυς, ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

www.tezaurliturgic.ro



Εἶτα οἱ Κανόνες τῆς Ἑορτῆς καὶ τοῦ Ἁγίου, οὗ ἡ ἀκροστιχίς·

Ἀγαθονίκου τοὺς πόνους μέλπειν θέμις.

Ἰωσήφ.

ᾨδὴ α'. Ἦχος α'. ᾨδὴν ἐπινίκιον.

Αγάθυνον Ἅγιε κεκακωμένην, ψυχήν μου τοῖς πάθεσιν, ἀγαθὸς γενόμενος, τοῦ ἀγαθοῦ μιμητής· καὶ λόγον δίδου τὴν σεπτήν, δοξάσαι μνήμην σου.

Γνωστὸς τῷ γινώσκοντι τὰ πάντα μάρτυς, ἐγένου θεόπνευστε, καὶ τὴν τούτου σάρκωσιν, ἐθνῶν ἐνώπιον, ἐκήρυξας τὸν τῆς σαρκὸς μὴ πτήξας θάνατον.

Ανέστησας λόγῳ σου τοὺς πεπτωκότας, καὶ τῆς Ἀναστάσεως, κοινωνοὺς ἀνέδειξας, καὶ τῆς λαμπρότητος, τῆς αἰωνίου εὐσεβῶς, μάρτυς πολύαθλε.

Θεοτοκίον.

Θαυμάτων ἐπέκεινα τὸ μέγα θαῦμα, Σεμνὴ τῆς λοχείας σου, καθορᾶται· τίκτεις γάρ, ἐν ὁμοιώματι, σαρκὸς γενόμενον Χριστόν, δίχα τροπῆς καὶ φυρμοῦ.

Καταβασία.

«Πεποικιλμένη τῇ θείᾳ δόξῃ, ἡ ἱερὰ καὶ εὐκλεὴς Παρθένε μνήμη
» σου, πάντας συνηγάγετο, πρὸς εὐφροσύνην τοὺς πιστούς,
» ἐξαρχούσης Μαριάμ, μετὰ χορῶν καὶ τυμπάνων, τῷ σῷ ᾄδοντας
» μονογενεῖ· ἐνδόξως ὅτι δεδόξασται.

ᾨδὴ γ'. Στερεωθήτω ἡ καρδία μου.

Ο ματαιόφρων ταῖς θωπείαις σε, δολερῶς συλῆσαι ἐπήλπιζεν· ἐματαιώθη δὲ αὐτοῦ, τὸ ἀλλόκοτον φρόνημα, ἡδρασμένου σου ἐν πέτρᾳ, ἀψευδοῦς μάρτυς πίστεως.

Υπερνηξάμενος τὸ πέλαγος, ἀλγεινῶν καὶ πόνων τοῦ σώματος, τῇ κυβερνήσει τοῦ Χριστοῦ, ἀθλητὰ Ἀγαθόνικε, προσωρμίσθης πρὸς λιμένας, νοητοὺς ἀγαλλόμενος.

www.tezaurliturgic.ro



Τομαὶ στρεβλώσεις τε τοῦ σώματος, ἐπ' ἐμὲ ἐρχέσθωσαν σήμερον· ξίφη καὶ τήγανα καὶ πῦρ, καὶ θηρία καὶ θάνατον, οὐ πτοοῦμαι ἀνεβόας, ἀθλητὰ Ἀγαθόνικε.

Θεοτοκίον.

Ὁ κατὰ φύσιν ἀπερίγραπτος, μορφωθεὶς ἐκ σοῦ τὸ ἡμέτερον, περιγραφὴν σωματικῶς, ὑπεδέξατο Δέσποινα, ἐν οὐσίαις καὶ θελήσεσι, διτταῖς γνωριζόμενος.

Καταβασία.

« Ἡ δημιουργική, καὶ συνεκτικὴ τῶν ἁπάντων, Θεοῦ σοφία καὶ » δύναμις, ἀκλινῆ, ἀκράδαντον, τὴν Ἐκκλησίαν στήριξον » Χριστέ· μόνος γὰρ εἶ Ἅγιος, ὁ ἐν Ἁγίοις ἀναπαυόμενος.

Κάθισμα τοῦ Ἁγίου.

Ἦχος α'. Τὸν τάφον σου Σωτήρ.

Ἀθλήσει λαμπρυνθείς, ὡς χρυσὸς ἐν καμίνῳ, ἐξήστραψας σοφέ, ἰαμάτων ἀκτῖνας, καὶ σκότος ἐμείωσας, τῶν δαιμόνων ἐν χάριτι· ὅθεν ἅπαντες, τὴν παναγίαν σου μνήμην, ἑορτάζομεν, θεομακάριστε μάρτυς, ἀθλητὰ Ἀγαθόνικε.

Δόξα, καὶ νῦν. Τῆς Ἑορτῆς.

Ἦχος δ'. Κατεπλάγη Ἰωσήφ.

Ἀναβόησον Δαυΐδ, τίς ἡ παροῦσα ἑορτή; Ἣν ἀνύμνησα φησίν, ἐν τῷ βιβλίῳ τῶν Ψαλμῶν, ὡς θυγατέρα θεόπαιδα, καὶ Παρθένον, μετέστησεν αὐτήν, πρὸς τὰς ἐκεῖθεν μονάς, Χριστὸς ὁ ἐξ αὐτῆς, ἄνευ σπορᾶς γεννηθείς· καὶ διὰ τοῦτο χαίρουσι, μητέρες καὶ θυγατέρες, καὶ νύμφαι Χριστοῦ, βοῶσαι· Χαῖρε, ἡ μεταστᾶσα, πρὸς τὰ ἄνω βασίλεια.

Ὠδὴ δ'. Ἐν πνεύματι προβλέπων.

Ὑπῆλθες τῶν μαρτύρων, τὸ στάδιον σοφέ, ὅπλῳ θείας πίστεως, λαμπρῶς περιφραχθείς· περιπλακεὶς δέ, τῷ δυσμενεῖ κατὰ κράτος, τοῦτον νικήσας, καθυπέταξας ποσί σου, μάρτυς ἀθλητὰ Ἀγαθόνικε.

www.tezaurliturgic.ro



Σοφίᾳ σου τῶν λόγων, καὶ ἔργων ἱερῶν, θείαις ἐπιδείξεσιν, ἐξέπληξας ἐχθρούς, ὑπολαβόντας τὸ καρτερὸν τοῦ νοός σου, καταπαλαῖσαι, καὶ πρὸς πλάνην καθελκύσαι, μάρτυς τοῦ Χριστοῦ Ἀγαθόνικε.

Πυρὶ ὁλοκαυτώσας, ἀγάπης θεϊκῆς, σοῦ τὸν νοῦν ἀοίδιμε, τὸ πῦρ τῶν δυσσεβῶν, οὐκ ἐπτοήθης, ἀλλὰ ἀνάψας ὡς ἄνθραξ, τῆς ἀθεΐας, ἐνεπύρισας τὴν ὕλην, μάρτυς ἱερὲ Ἀγαθόνικε.

Θεοτοκίον.

Ὁ νώτοις ἐπιβαίνων, Ἁγνὴ χερουβικοῖς, σαρκωθεὶς ὡς ἄνθρωπος, ἐκ σοῦ θεοπρεπῶς, σοῦ ταῖς ἀγκάλαις καθέζεται ὥσπερ βρέφος, καὶ νηπιάζει, νηπιόφρονα τὸν πάλαι, σῴζων γεγονότα πρωτόπλαστον.

Καταβασία.

« Ῥήσεις Προφητῶν καὶ αἰνίγματα, τὴν σάρκωσιν ὑπέφηναν, τὴν
» ἐκ Παρθένου σου Χριστέ, φέγγος ἀστραπῆς σου, εἰς φῶς
» ἐθνῶν ἐξελεύσεσθαι· καὶ φωνεῖ σοι ἄβυσσος, ἐν ἀγαλλιάσει. Τῇ
» δυνάμει σου δόξα φιλάνθρωπε.

Ὠδὴ ε΄. Τὸ φαεινὸν ἡμῖν.

Νόμοις ἀντέθηκας τοῦ ἀλάστορος, νόμον σωτήριον, ἐννομώτατος ὡς μάρτυς ἔνδοξε, τοῦ νομοδότου πάντων καὶ δεσπόζοντος, Χριστοῦ τοῦ Θεοῦ ἡμῶν.

Ὁ περιβόητος καὶ περίδοξος, μάρτυς γενόμενος, Ἀγαθόνικος νῦν μακαρίζεται, σὺν οὐρανίαις πάντοτε Δυνάμεσι, φαιδρῶς ἀγαλλόμενος.

Ὑπὲρ τὸ ζῆν θανεῖν εἵλου ἔνδοξε, ὅπως τὴν μέλλουσαν, ὡς ἀΐδιον καὶ αἰωνίζουσαν, ζωὴν κερδήσῃς· ὅθεν ξίφει τέμνοντι, κλίνεις τὸν αὐχένα σου.

Θεοτοκίον.

Σοῦ τὰ θαυμάσια προορώμενος, θείῳ ἐν Πνεύματι, Ἡσαΐας ἀνεκραύγαζε· Ἰδοὺ ἐν μήτρᾳ ἕξεις τὸν ἀχώρητον, σαρκούμενον Ἄχραντε.

www.tezaurliturgic.ro



Καταβασία.

« Τὸ θεῖον καὶ ἄρρητον κάλλος, τῶν ἀρετῶν σου Χριστὲ διηγή- » σομαι· ἐξ ἀϊδίου γὰρ δόξης συναΐδιον, καὶ ἐνυπόστατον λάμ- » ψας ἀπαύγασμα, παρθενικῆς ἀπὸ γαστρός, τοῖς ἐν σκότει καὶ » σκιᾷ, σωματωθεὶς ἀνέτειλας ἥλιος.

Ὠδὴ ϛ΄. Τὸν Προφήτην Ἰωνᾶν.

Μυριόλεκτον πληθύν, Αἰθιόπων νοητῶν, κατεπάλαισας, σοφέ, ἀσθενείᾳ τῆς σαρκός, καὶ ἥνωσαι, ταῖς μυριάσι, τῶν νοερῶν λειτουργῶν.

Ἐπορεύθης ἀνδρικῶς, μαρτυρίου τὴν ὁδόν, καὶ ἐστένωσας ὁδούς, τῆς κακίας Ἀθλητά· καὶ ἔφθασας, τὰς εὐρυχώρους, σκηνώσεις τῶν οὐρανίων νοῶν.

Λαμπρυνθεὶς ὥσπερ χρυσός, τῇ χωνείᾳ τῶν δεινῶν, παθημάτων τοῦ Χριστοῦ, Ἀγαθόνικε σοφέ, ἐκσφράγισμα ἐδείχθης, θείοις ἀποτεθεὶς θησαυροῖς.

Θεοτοκίον.

Παρθενεύεις ὡς τὸ πρίν, καὶ τεκοῦσα τὸν Χριστόν, γαλουχεῖς, πᾶσι τροφήν, τὸν παρέχοντα Ἁγνή· παράδοξον, σεμνὴ τὸ θαῦμα, καὶ ἀκατάληπτον.

Καταβασία.

« Ἄλιον ποντογενές, κητῷον ἐντόσθιον πῦρ, τῆς τριημέρου ταφῆς » σου τὸ προεικόνισμα, οὗ Ἰωνᾶς ὑποφήτης ἀναδέδεικται· σεσω- » σμένος γὰρ ὡς καὶ προϋπέπωτο, ἀσινὴς ἐβόα· θύσω σοι μετὰ φωνῆς » αἰνέσεως Κύριε.

Κοντάκιον. Ἦχος α΄. Χορὸς ἀγγελικός.

Τὴν κλῆσιν ἀγαθήν, κεκτημένος θεόφρον, ἀνδρῶν τῶν πονηρῶν, ἀπεστράφης τὸ σέβας, μὴ πτήξας κολάσεων, εἶδος πᾶν Ἀγαθόνικε· ὅθεν γέγονας, τῶν ἀγαθῶν κληρονόμος· καὶ ἀπείληφας, σὺν τοῖς συνάθλοις ἀξίως, τὸν ἄφθαρτον στέφανον.

www.tezaurliturgic.ro



## Ὁ Οἶκος.

Τὸν ἀγαθὸν καὶ φιλάνθρωπον καθικέτευε, Ἀγαθόνικε πάνσοφε, τοῦ ἀγαθῦναι τὴν κάκωσιν τῆς ἐμῆς καρδίας, καὶ δωρήσασθαι λόγον μοι, τοῦ ἀξίως ὑμνῆσαί σου τοὺς ἀγῶνας, οὓς ἤθλησας ὑπὲρ τῆς πίστεως τοῦ Χριστοῦ καὶ Θεοῦ ἡμῶν· πῶς πανταχόθεν περιεσκόπεις, οἷά περ ποιμήν, μάρτυς, καὶ τοὺς λύκους ἐκδιώκων, ἐποδήγεις σου τὴν ποίμνην πρὸς γῆν ἀληθείας, βοῶν ἐν παρρησίᾳ· Ὡς πρόβατα ἐγνώσθημεν σφαγῆς· διὸ θάνωμεν, ἵνα κομισώμεθα τὸν ἄφθαρτον στέφανον.

## Συναξάριον.

Τῇ ΚΒ′ τοῦ αὐτοῦ μηνός, μνήμη τοῦ Ἁγίου μάρτυρος Ἀγαθονίκου καὶ τῶν σὺν αὐτῷ, Ζωτικοῦ, Ζήνωνος, Θεοπρεπίου, Ἀκινδύνου, καὶ Σεβηριανοῦ.

Στίχ. Ἀγαθονίκου κλῆσις ἀψευδεστάτη,
χρηστὴν βοῶσα τοῦδε νίκην ἐκ ξίφους.
Τρεῖς καρτεροῦντες μηχανήματος βίαν,
τὰς μηχανὰς λύουσι τοῦ παμμηχάνου.
Ἐν μάρτυσι τμηθεῖσαν αὐχένα ξίφει,
Σεβηριανὸς τάττεται τμηθεὶς ξίφει.
Ἰδοὺ παρ' ἡμῖν καὶ Κυρηναῖος νέος,
οὐκ ἀγγαρευθείς, ἀλλ' ἑκὼν Σταυρὸν φέρων

Ἔκτανε δευτερίῃ ξίφος εἰκάδι Ἀγαθόνικον.

Ὁ μάρτυς τοῦ Χριστοῦ Ἀγαθόνικος ἦν κατὰ τοὺς χρόνους Μαξιμιανοῦ. Συνελήφθη δὲ ὑπὸ Κόμητος τινός, ὀνομαζομένου Εὐτολμίου, ὃς ἐκ Νικομηδείας ἐπὶ τὴν Ποντικὴν χώραν παρὰ τοῦ βασιλέως ἐπὶ ἀναιρέσει ἀποσταλεὶς τῶν Χριστιανῶν, ἐν τῷ διαβαίνειν ἐν πλοίῳ, κατέλαβε τὸ Ἐμπόριον, τὸ λεγόμενον Κάρπην. Κἀκεῖ τὸν ἅγιον Ζωτικὸν σὺν τοῖς μαθηταῖς αὐτοῦ εὑρὼν τὸν Χριστὸν ὁμολογοῦντας, τῷ διὰ Σταυροῦ θανάτῳ κατακρίνει. Εἶτα ὑποστρέψας εἰς Νικομήδειαν, καὶ μαθὼν ὅτι ὁ καλούμενος πρίγκιψ, διά τινος Ἀγαθονίκου, ἀφιστῶντος τοὺς Ἕλληνας τῶν εἰδώλων, καὶ προσάγοντος τῷ Χριστῷ, ἐπίστευσεν,

www.tezaurliturgic.ro



ἀποστείλας ἀμφοτέρους συνέλαβε· καὶ τὸν μὲν Ἅγιον Ἀγαθόνικον τύπτει σφοδρῶς· τὸν δὲ πρίγκιπα, μετὰ καὶ ἑτέρων δεσμίων Χριστιανῶν, συνάμα τῷ Ἀγαθονίκῳ ἐπὶ τὴν Θρᾴκην ἄγει, ἔνθα διῆγεν ὁ βασιλεύς, ἐφ' ᾧ παρ' αὐτοῦ γενέσθαι τὴν τούτων ἐξέτασιν.

Ἐλθὼν δὲ ἐν χωρίῳ, λεγομένῳ Ποταμῷ, ἀνεῖλε τὸν ἅγιον Ζήνωνα, καὶ Θεοπρέπιον, καὶ Ἀκίνδυνον, καταπέλταις, μὴ δυναμένους ἤδη βαδίζειν, διὰ τὰς προγεγονυίας πληγὰς τῶν αἰκισμῶν. Εἶτα γενόμενος πλησίον Χαλκηδόνος, ἀναιρεῖ τὸν ἅγιον Σεβηριανόν, παρρησίᾳ τὸν Χριστὸν κηρύττοντα. Ἐν δὲ τῷ Βυζαντίῳ παρίσταται αὐτῷ ὁ ἅγιος Ἀγαθόνικος μετὰ τῶν λοιπῶν συνδεσμίων καὶ τοῦ πρίγκιπος, καὶ ἐξαχθεὶς ἔξω τῆς πόλεως, τύπτεται σφοδρῶς· καὶ φθάσας τὴν Σηλυβρίαν, εἰς τόπον λεγόμενον Ἄμμους, ἔνθα ὁ Μαξιμιανὸς διῆγεν, ἐτμήθη τὴν κεφαλὴν μετὰ τοῦ πρίγκιπος καὶ τῶν ἄλλων Χριστιανῶν, ὅσους ὁ Κόμης ἐκ Νικομηδείας ἠγάγετο, καὶ σὺν αὐτοῖς τῷ τῆς μαρτυρίας στεφάνῳ κατεκοσμήθη.

Τῇ αὐτῇ ἡμέρᾳ Μνήμη τῆς Ἁγίας μάρτυρος Ἀνθούσης καὶ Ἀθανασίου Ἐπισκόπου, τοῦ βαπτίσαντος αὐτήν, καὶ Χαρησίμου καὶ Νεοφύτου τῶν οἰκετῶν αὐτῆς.

Στίχ. Ἀνθῆσαν ἐκ γῆς τῆς Σελευκείας ῥόδον,
Ἀνθοῦσαν ἐδρέψαντο χεῖρες Ἀγγέλων.
Ἀθανάσιος κἂν τεθνήξωμαι ξίφει,
Τοῖς ζῶσι Χριστοῦ ζῶν τετάξομαι φίλοις.
Δοῦλοι δύο τμηθέντες, εὗρον οἱ δύο
Τὴν εὐγένειαν, ἣν ἀπώλεσαν πάλαι.

Τῇ αὐτῇ ἡμέρᾳ, οἱ Ἅγιοι μάρτυρες Εἰρηναῖος, Ὧρ, καὶ Ὄροψις, ξίφει τελειοῦνται.

Στίχ. Ξίφει τριὰς τμηθεῖσα, τριστάτας πλάνης
Βυθῷ καλύπτει τῶν ἑαυτῆς αἱμάτων.

Ταῖς αὐτῶν ἁγίαις πρεσβείαις, ὁ Θεός, ἐλέησον ἡμᾶς. Ἀμήν.

www.tezaurliturgic.ro



Ὠδὴ ζ΄. Τοὺς ἐν καμίνῳ παῖδάς σου.

Ἐπουρανίου δόξης κοινωνός, γεγένησαι, πάντα τὰ ἐν γῇ παραδραμών, καὶ ἐκ ψυχῆς τοῦ οὐρανοῦ καὶ γῆς Δεσπότην, ἀγαπήσας ἔνδοξε· ὅθεν τιμῶμεν τὴν σήν, ἁγίαν μνήμην πιστῶς.

Ἰχνηλατῶν τὸ πάθος τοῦ Χριστοῦ, τοῦ βλύσαντος πᾶσι τὴν ἀπάθειαν πιστοῖς, ὑπέμεινας ὀνειδισμοὺς καὶ θλίψεις μάρτυς, καὶ θάνατον ἄδικον, ξίφει τὴν σὴν κεφαλήν, ἀποτμηθεὶς ἐν χαρᾷ.

Νεκροῖς ξοάνοις σέβας οὐδαμῶς, ἀπένειμας σέβων τὸν ἀθάνατον Θεόν, τὸν δι' ἡμᾶς νεκρὸν ὀφθέντα, καὶ τοῦ πλάνου τὴν ἰσχὺν νεκρώσαντα· ὅθεν ζωῆς ἀληθοῦς, ἔτυχες μάρτυς σοφέ.

Θεοτοκίον.

Θεὸς ἐκ σοῦ ἐγένετο βροτός, τὸ φύραμα Ἄχραντε, θεώσας τῶν βροτῶν, καὶ κοινωνοὺς φύσεως θείας ἐκτελέσας, τοὺς σὲ μακαρίζοντας, ἐν γυναιξὶν ἀληθῶς, εὐλογημένη Ἁγνή.

Καταβασία.

« Ἰταμῷ θυμῷ τε καὶ πυρί, θεῖος ἔρως ἀντιταττόμενος, τὸ μὲν πῦρ » ἐδρόσιζε· τῷ θυμῷ δὲ ἐγέλα, θεοπνεύστῳ λογικῇ, τῇ τῶν ὁσίων » τριφθόγγῳ λύρᾳ ἀντιφθεγγόμενος, μουσικοῖς ὀργάνοις ἐν μέσῳ » φλογός· Ὁ δεδοξασμένος, τῶν Πατέρων καὶ ἡμῶν, Θεὸς εὐλο» γητός εἶ.

Ὠδὴ η΄. Ὃν φρίττουσιν Ἄγγελοι.

Ἐκ τόπου συρόμενος, εἰς τόπον ἀθλητά, τὴν γῆν καθηγίασας, τοῖς βήμασι τοῖς σοῖς καὶ κλίνας αὐχένα ξίφει τέμνοντι, σαρκὸς διεζεύχθης, καὶ τῷ Θεῷ ἡνώθης.

Μαστίγων παντοίων τε, βασάνων τῆς σαρκός, ἠλόγισας ἔρωτι, φλεγόμενος Θεοῦ, καὶ χαίρων συνήφθης τὸν ἀγῶνα καλῶς, τὸν σὸν ἐκτελέσας, ταῖς ἄνω μυριάσι.

Ἰσχὺς καταβέβληται, ἀσάρκου δυσμενοῦς· σαρκὸς ἀσθενείᾳ γάρ, οἱ μάρτυρες Χριστοῦ, ἐτρέψαντο τοῦτον δυναμούμενοι, τῇ παντοδυνάμῳ ἰσχύϊ τοῦ Δεσπότου.

www.tezaurliturgic.ro



Θεοτοκίον.

Σκηνήν σε καὶ τράπεζαν, καὶ θείαν κιβωτόν, καὶ στάμνον χωρήσασαν, τὸ μάννα τῆς ζωῆς, καὶ ἅγιον ὄρος ὀνομάζομεν, Παρθένε Μαρία, ἀεὶ εὐλογημένη.

Καταβασία.

« Φλόγα δροσίζουσαν ὁσίους, δυσσεβεῖς δὲ καταφλέγουσαν, Ἄγ-
» γελος Θεοῦ ὁ πανσθενής, ἔδειξε Παισί· ζωαρχικὴν δὲ πηγὴν
» εἰργάσατο τὴν Θεοτόκον, φθορὰν θανάτου, καὶ ζωὴν βλυστάνου-
» σαν τοῖς μέλλουσι. Τὸν Δημιουργὸν μόνον ὑμνοῦμεν, οἱ λελυτρω-
» μένοι, καὶ ὑπερυψοῦμεν εἰς πάντας τοὺς αἰῶνας.

Ὠδὴ θ΄. Τὴν φωτοφόρον νεφέλην.

Ἱερωτάταις χορείαις, τῶν ἱερῶν Ἀποστόλων, καὶ συναυλίαις Ἀθλητῶν, καὶ Ὁσίων ἀγέλαις, καὶ Προφητῶν ἀριθμηθείς, σοφὲ Ἀγαθόνικε, γηθόμενος, σὺν αὐτοῖς τῇ Τριάδι, στεφηφόρος νῦν παρίστασαι φαιδρῶς.

Ὡς θαυμαστός σου ὁ ζῆλος, ὡς σταθηρά σου ἡ πίστις, ὡς ἀγαθὴ ἡ πρὸς Θεόν, σοῦ πεποίθησις μάρτυς· ὡς φωταυγής σου ἡ ζωή, ὡς χάριτος ἔμπλεως ὁ θάνατος, ἀθανάτου σε δόξης, ἀθλοφόρε ἐκτελέσας κοινωνόν.

Σὲ τοῦ Χριστοῦ τὸ ἀρνίον, τὸ ἱερώτατον θῦμα, τῶν ἀθλητῶν τὴν καλλονήν, τῶν θαυμάτων τὴν βρύσιν, τῆς Ἐκκλησίας τὸ τερπνόν, θεόφρον ἀγλάϊσμα, τὸ στήριγμα τῶν πιστῶν εὐφημοῦμεν, κατὰ χρέος, Ἀγαθόνικε σοφέ.

Ἡ παναγία σου μνήμη, καθαγιάζουσα κόσμον, νῦν ἐπεδήμησεν ἡμῖν, παναοίδιμε μάρτυς· ἐν ᾗ δεόμεθα τυχεῖν, τῆς σῆς ἀντιλήψεως, τιμῶντές σε, Ἀγαθόνικε πόθῳ, ὡς τοῦ Λόγου ἀγαθὸν θεραπευτήν.

Θεοτοκίον.

Φιλαμαρτήμονα γνώμην, καὶ ἀδιόρθωτον βίον, καὶ πλημμελήσασαν ψυχήν, καὶ καρδίαν ῥυπῶσαν, ἔχων ὁ ἄσωτος ἐγώ, προσπίπτω σοι Δέσποινα, βοήθει μοι, καὶ διόρθωσιν δίδου, πρὶν με φθάσῃ, τοῦ θανάτου ἡ τομή.

www.tezaurliturgic.ro



Καταβασία.

«Νενίκηνται τῆς φύσεως οἱ ὅροι, ἐν σοὶ Παρθένε ἄχραντε· » παρθενεύει γὰρ τόκος, καὶ ζωὴν προμνηστεύεται θάνατος. » Ἡ μετὰ τόκον Παρθένος, καὶ μετὰ θάνατον ζῶσα, σῴζοις ἀεί, » Θεοτόκε τὴν κληρονομίαν σου.

Ἐξαποστειλάριον. Τοῖς Μαθηταῖς συνέλθωμεν.

Ἀγαθονίκου μάρτυρος, τὴν ὑπέρφωτον μνήμην, λαμπροφανῶς τελέσωμεν, ἣν συνῆψεν ἡ χάρις, τῇ τῆς Πανάγνου Κοιμήσει· Οὗτος γὰρ ὁ γενναῖος, τυράννους μὲν κατῄσχυνεν, ἐναθλῶν στερροψύχως· τῷ δὲ Χριστῷ, χαίρων νῦν παρίσταται στεφηφόρος, ὑπὲρ ἡμῶν δεόμενος, τῶν αὐτὸν εὐφημούντων.

Ἕτερον. Ὁ οὐρανὸν τοῖς ἄστροις.

Μαρτυρικῶς ἀθλήσας, τρόπαιον νίκης θαυμαστόν, κατὰ τῆς πλάνης ἐγείρας, δεδόξασαι περιφανῶς, ὦ Ἀγαθόνικε μάρτυς, τῶν εὐσεβούντων προστάτα.

Καὶ τὸ τῆς Ἑορτῆς. Ἦχος γ'.

Ἀπόστολοι ἐκ περάτων, συναθροισθέντες ἐνθάδε, Γεθσημανῆ τῷ χωρίῳ, κηδεύσατέ μου τὸ σῶμα· καὶ σὺ Υἱὲ καὶ Θεέ μου, παράλαβέ μου τὸ πνεῦμα.

Εἰς τοὺς Αἴνους.

Ἱστῶμεν στίχους δ' καὶ ψάλλομεν τὰ ἑξῆς Προσόμοια.

Ἦχος α'. Πανεύφημοι Μάρτυρες.

Πανεύφημε μάρτυς τοῦ Χριστοῦ, τρόπων ἀγαθότητι, καὶ εὐσεβείας ταῖς χάρισι, κατακοσμούμενος, μαρτυρίου ἄθλους, πλέον ὑπερέλαμψας, καὶ χαίρων σου τὸ αἷμα ἐξέχεας, ὑπὲρ τοῦ Κτίστου σου, Ἀγαθόνικε πολύαθλε· διὰ τοῦτο, ἀξίως δεδόξασαι.

Δεσμώτης ἀχθεὶς τυραννικῇ, ψήφῳ ἐκ τῆς πόλεως, Νικομηδείας πανεύφημε, πλείστους ἡγίασας, τόπους οὓς διῆλθες, ἀπηνῶς συρόμενος, καὶ μάστιξι καὶ πόνοις θλιβόμενος, ἐν Σηλυβρίᾳ δέ, ἐκτελέσας τὸν ἀγῶνά σου, οὐρανίων ἀγαθῶν ἠξίωσαι.

www.tezaurliturgic.ro



Τῷ λόγῳ τῆς πίστεως σοφέ, μάρτυς Ἀγαθόνικε, τῶν ἀγαθῶν τὴν ἀπόλαυσιν, ὄντως ἐτράνωσας, τοῦ Εὐαγγελίου, καὶ στερροῖς παλαίσμασι, μὴ φείδεσθαι τοῦ σώματος ἔπεισας, τοὺς συναθλοῦντάς σοι, μεθ' ὧν πρέσβευε δεόμεθα, ὑπὲρ πάντων, τῶν ἀνευφημούντων σε.

Χορὸς Ἀθλητῶν θεοειδής, ὤφθητε μακάριοι, ὑπὲρ Χριστοῦ ἐναθλήσαντες, τὸν Ἀγαθόνικον, ἔχοντες ἐν μέσῳ ὥσπερ ἄστρον πάμφωτον, Ἀκίνδυνε καὶ Ζήνων καὶ Ζωτικὲ καὶ Θεοπρέπιε, Σεβηριανὲ θεόληπτε, σὺν πριγκίπῳ· διὸ ὑμᾶς μέλπομεν.

Δόξα. Ἦχος πλ. α'.

Ἀθλητικοῖς παλαίσμασι, τῆς ἀληθείας τὴν ὁμολογίαν, ἣν καλῶς διήγαγες, ἐπεσφράγισας μάρτυς· τὴν ἐν σοὶ γὰρ λαμπρότητα, καὶ τῆς εὐσεβείας τὸν πλοῦτον, πόνοις πλείστοις δοκιμασθείς, τῇ τῶν ἐπάθλων δωρεᾷ, πᾶσιν ὑπέδειξας· καὶ τῷ οἰκείῳ θανάτῳ, τῶν παθῶν τοῦ Χριστοῦ σύμμορφος γενόμενος, τῆς ἀθανάτου ζωῆς ἠξίωσας καὶ τῆς ἀϊδίου μετέχεις δόξης. Ἀλλ' ὦ Ἀγαθόνικε ἔνδοξε, σὺν τοῖς συνάθλοις σου, πρέσβευε ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

Καὶ νῦν. Ὁ αὐτός.

Ἄσατε λαοὶ τῇ Μητρὶ τοῦ Θεοῦ ἡμῶν, ᾄσατε· σήμερον γὰρ τὴν ὁλόφωτον ψυχὴν αὐτῆς, εἰς τὰς ἀχράντους παλάμας, τοῦ ἐξ αὐτῆς σαρκωθέντος ἄνευ σπορᾶς, παρατίθησιν· ᾧ καὶ πρεσβεύει ἀδιαλείπτως, δωρηθῆναι τῇ οἰκουμένῃ εἰρήνην, καὶ τὸ μέγα ἔλεος.

Δοξολογία Μεγάλη καὶ Ἀπόλυσις.

www.tezaurliturgic.ro

# ΕΙΣ ΤΗΝ ΛΕΙΤΟΥΡΓΙΑΝ

Τὰ τυπικά, οἱ Μακαρισμοί, καὶ ἐκ τοῦ Κανόνος τοῦ Ἁγίου ἡ γ΄ καὶ στ΄ Ὠδή.

## ΑΠΟΣΤΟΛΟΣ

Προκείμενον. Ἦχος βαρύς.

Εὐφρανθήσεται δίκαιος ἐν Κυρίῳ.

Στίχ. Εἰσάκουσον ὁ Θεὸς τῆς φωνῆς μου.

Πρὸς Τιμόθεον Β΄ Ἐπιστολῆς Παύλου τὸ Ἀνάγνωσμα.

(Β΄ 1—10)

Τέκνον Τιμόθεε, ἐνδυναμοῦ ἐν τῇ χάριτι τῇ ἐν Χριστῷ Ἰησοῦ, καὶ ἃ ἤκουσας παρ᾽ ἐμοῦ διὰ πολλῶν μαρτύρων, ταῦτα παράθου πιστοῖς ἀνθρώποις, οἵτινες ἱκανοὶ ἔσονται καὶ ἑτέρους διδάξαι. Σὺ οὖν κακοπάθησον ὡς καλὸς στρατιώτης Ἰησοῦ Χριστοῦ. Οὐδεὶς στρατευόμενος ἐμπλέκεται ταῖς τοῦ βίου πραγματείαις, ἵνα τῷ στρατολογήσαντι ἀρέσῃ. Ἐὰν δὲ καὶ ἀθλῇ τις, οὐ στεφανοῦται, ἐὰν μὴ νομίμως ἀθλήσῃ. Τὸν κοπιῶντα γεωργὸν δεῖ πρῶτον τῶν καρπῶν μεταλαμβάνειν. Νόει ἃ λέγω· δῴη γάρ σοι ὁ Κύριος σύνεσιν ἐν πᾶσι. Μνημόνευε Ἰησοῦν Χριστὸν ἐγηγερμένον ἐκ νεκρῶν, ἐκ σπέρματος Δαβίδ, κατὰ τὸ εὐαγγέλιόν μου· ἐν ᾧ κακοπαθῶ μέχρι δεσμῶν, ὡς κακοῦργος· ἀλλ᾽ ὁ λόγος τοῦ Θεοῦ οὐ δέδεται. Διὰ τοῦτο πάντα ὑπομένω διὰ τοὺς ἐκλεκτούς, ἵνα καὶ αὐτοὶ σωτηρίας τύχωσι τῆς ἐν Χριστῷ Ἰησοῦ, μετὰ δόξης αἰωνίου.

Ἀλληλούϊα. Ἦχος δ΄.

Δίκαιος ὡς φοῖνιξ ἀνθήσει.

Στίχ. Πεφυτευμένος ἐν τῷ οἴκῳ Κυρίου.

www.tezaurliturgic.ro



## ΕΥΑΓΓΕΛΙΟΝ

Ἐκ τοῦ κατὰ Ἰωάννην.

(ΙΕ' 17—ΙΣΤ' 2)

Εἶπεν ὁ Κύριος τοῖς ἑαυτοῦ Μαθηταῖς· Ταῦτα ἐντέλλομαι ὑμῖν, ἵνα ἀγαπᾶτε ἀλλήλους. Εἰ ὁ κόσμος ὑμᾶς μισεῖ, γινώσκετε ὅτι ἐμὲ πρῶτον ὑμῶν μεμίσηκεν. Εἰ ἐκ τοῦ κόσμου ἦτε, ὁ κόσμος ἂν τὸ ἴδιον ἐφίλει· ὅτι δὲ ἐκ τοῦ κόσμου οὐκ ἐστέ, ἀλλ' ἐγὼ ἐξελεξάμην ὑμᾶς ἐκ τοῦ κόσμου, διὰ τοῦτο μισεῖ ὑμᾶς ὁ κόσμος. Μνημονεύεται τοῦ λόγου, οὗ ἐγὼ εἶπον ὑμῖν. Οὐκ ἔστι δοῦλος μείζων τοῦ κυρίου αὐτοῦ. Εἰ ἐμὲ ἐδίωξαν, καὶ ὑμᾶς διώξουσιν, εἰ τὸν λόγον μου ἐτήρησαν, καὶ τὸν ὑμέτερον τηρήσουσιν. Ἀλλὰ ταῦτα πάντα ποιήσουσιν ὑμῖν διὰ τὸ ὄνομά μου, ὅτι οὐκ οἴδασι τὸν πέμψαντά με. Εἰ μὴ ἦλθον καὶ ἐλάλησα αὐτοῖς, ἁμαρτίαν οὐκ εἶχον· νῦν δὲ πρόφασιν οὐκ ἔχουσι περὶ τῆς ἁμαρτίας αὐτῶν. Ὁ ἐμὲ μισῶν καὶ τὸν Πατέρα μου μισεῖ. Εἰ τὰ ἔργα μὴ ἐποίησα ἐν αὐτοῖς, ἃ οὐδεὶς ἄλλος πεποίηκεν, ἁμαρτίαν οὐκ εἶχον· νῦν δὲ καὶ ἑωράκασι, καὶ μεμισήκασι καὶ ἐμὲ καὶ τὸν Πατέρα μου. Ἀλλ' ἵνα πληρωθῇ ὁ λόγος ὁ γεγραμμένος ἐν τῷ νόμῳ αὐτῶν. Ὅτι ἐμίσησάν με δωρεάν. Ὅταν δὲ ἔλθῃ ὁ Παράκλητος, ὃν ἐγὼ πέμψω ὑμῖν παρὰ τοῦ Πατρός, (τὸ Πνεῦμα τῆς ἀληθείας, ὃ παρὰ τοῦ Πατρὸς ἐκπορεύεται), ἐκεῖνος μαρτυρήσει περὶ ἐμοῦ· καὶ ὑμεῖς δὲ μαρτυρεῖτε, ὅτι ἀπ' ἀρχῆς μετ' ἐμοῦ ἐστε. Ταῦτα λελάληκα ὑμῖν, ἵνα μὴ σκανδαλισθῆτε. Ἀποσυναγώγους ποιήσουσιν ὑμᾶς· ἀλλ' ἔρχεται ὥρα, ἵνα πᾶς ὁ ἀποκτείνας ὑμᾶς δόξῃ λατρείαν προσφέρειν τῷ Θεῷ.

**Κοινωνικόν.** Εἰς μνημόσυνον αἰώνιον...

**Μεγαλυνάριον.**

Χαίροις Ἀγαθόνικε ἀθλητά, ὁ Χριστὸν δοξάσας, δι' ἀγώνων ἀθλητικῶν· χαίροις Ἀθλοφόρων τῶν σὺν σοὶ ἀθλησάντων, ὑπογραμμὸς καὶ τύπος καὶ ἐγκαλλώπισμα.

**Ἕτερον.**

Ἔχει τὸ σὸν πνεῦμα ὁ οὐρανός, χάραν δὲ τὴν θείαν ἡ Νεάπολις ἡ λαμπρά, ἡ δὲ Νικομήδεια σοῦ σπάργανα τιμῶσα, ἀγάλλεται καὶ χαίρει, ὦ Ἀγαθόνικε.

www.tezaurliturgic.ro

# ΒΙΟΣ
# ΤΟΥ ΑΓΙΟΥ ΑΓΑΘΟΝΙΚΟΥ

Ο μάρτυς τοῦ Χριστοῦ Ἀγαθόνικος, υἱὸς τοῦ ἐπάρχου Ἀσκληπιάδου, κατήγετο ἐκ Νικομηδείας[1] καὶ ἔζησε κατὰ τοὺς χρόνους τοῦ αὐτοκράτορος Μαξιμιανοῦ, ἀναδειχθεὶς ἔνθερμος τοῦ Εὐαγγελίου κήρυξ, ἀτρόμητος τῆς πίστεως στρατιώτης καὶ πολύτιμος στῦλος τῶν ἐν Νικομηδείᾳ χριστιανῶν.

Κατὰ τὴν αὐτὴν ἐποχὴν ἔζη ἐν Νικομηδείᾳ ἔπαρχός τις Εὐτόλμιος καλούμενος, ὅστις, ἀποσταλεὶς πρὸς δίωξιν τῶν χριστιανῶν καθ' ὅλην τὴν νότιον περιοχὴν τοῦ Εὐξείνου Πόντου καὶ δὴ μέχρι Νεοκαισαρείας, ἐθανάτωσε διὰ σταυροῦ τὸν ἅγιον Ζωτικὸν καὶ τοὺς μαθητάς του εἰς τόπον λεγόμενον *Κάρπην*[2], ἐπὶ τῷ λόγῳ ὅτι οὗτοι ἐκήρυττον τὸν Ἰησοῦν Χριστὸν καὶ εὐθαρσῶς ὡμολόγουν τὴν εἰς Αὐτὸν πίστιν. Οἱ μαρτυρήσαντες διὰ τῆς αὐταπαρνήσεώς των ἐπεβεβαίωσαν ἀπολύτως τοὺς λόγους τοῦ θείου Παύλου ὅτι, οὐ μόνον τὸ εἰς Χριστὸν πιστεύειν εἶναι ἱκανοὶ νὰ διακηρύττουν ὡς ἀληθινοὶ ὀπαδοὶ τοῦ Σωτῆρος, ἀλλὰ καὶ τὸ ὑπὲρ αὐτοῦ πάσχειν καλῶς γνωρίζουν καὶ πλήρως ἐφαρμόζουν.

Ἐκεῖθεν ἐπιστρέψας ὁ Εὐτόλμιος εἰς τὴν Νικομήδειαν, ἐπληροφορήθη ἐκ καταγγελιῶν ὅτι Ἀγαθόνικός τις, οὐ μόνον δὲν ἐσέβετο τὰ εἴδωλα, ἀλλὰ καὶ τοὺς Ἕλληνας εἰδωλολάτρας προέτρεπε νὰ πιστεύωσιν εἰς τὸν Χριστόν, διδάσκων συγχρόνως τὴν πρὸς αὐτὰ καταφρόνησιν, καὶ ὅτι πρίγκιπά τινα ἐκ τοῦ κόσμου τῶν εἰδωλολατρῶν διὰ τοῦ κηρύγματός του ὡδήγησεν εἰς τὸν Χριστὸν καὶ πολλοὺς ἄλλους ἔτι ἐκ τῆς πλάνης καὶ τῆς λατρείας τῶν εἰδώλων ἀπεμάκρυνε, ἐνθέρμως διαδίδων τὴν διδασκαλίαν τοῦ Σωτῆρος, πληθυνομένου οὕτω τοῦ στρατοπέδου τῶν Χριστιανῶν, ὅπερ ζωηρότερον ἐξήγειρε τὸν φανατισμὸν τῶν εἰδωλολατρῶν τῆς περιφερείας τῆς Νικομηδείας.

Ἤρκεσε, λοιπόν, ἡ πληροφορία αὕτη διὰ νὰ διαταχθῇ ἡ σύλληψις τοῦ τε ἐκχριστιανισθέντος πρίγκιπος καὶ τοῦ μάρτυρος Ἀγαθονίκου μετὰ τῶν ἄλλων, τῶν εἰς τὴν πίστιν τοῦ Χριστοῦ προσελθόντων. Συνελήφθη

1. Ὁ Σεβασμ. Ἐλευθερουπόλεως κ. Σωφρόνιος, μαθητὴς ὢν τῆς ἐν ΚΠόλει Μεγάλης τοῦ Γένους Σχολῆς, ἠρώτησε δι' ἐπιστολῆς τὸν κατὰ τὴν ἐποχὴν ἐκείνην Μητροπολίτην Νικομηδείας Φιλόθεον Βρυέννιον, ἐὰν ὑπάρχῃ τι ἐκεῖ ὑπενθυμίζον τὸν ἐκ Νικομηδείας ἅγ. Ἀγαθόνικον, ἔλαβε δὲ ἀπάντησιν, ὅτι «ὁ ἅγιος Ἀγαθόνικος, τόσον ἐστὶ γνωστὸς ἐκεῖ ὅσον καὶ τόσοι ἄλλοι ἐκ Νικομηδείας Ἅγιοι».

2. Νῦν *Ἐμπόριον* ἐπὶ τῆς ἀκτῆς τοῦ Εὐξείνου Πόντου, βορείως τῆς Νικομηδείας (Μεγ. Ἑλλην. Ἐγκυκλ. ΙΑ' σελ. 88).

www.tezaurliturgic.ro



ὅθεν ὁ Ἀγαθόνικος καὶ οἱ κυριώτεροι τῶν συνεργατῶν του, οἵτινες διὰ πολλῶν βασάνων ἐξηναγκάζοντο νὰ ἀρνηθῶσι τὸν Χριστόν. Ἀπὸ τῆς στιγμῆς ἐκείνης ἄρχεται κυρίως τὸ μαρτύριον τοῦ Ἁγίου, ὅστις, τυπτόμενος σφοδρῶς ὑπὸ τῶν ἐχθρῶν τῆς πίστεως, δὲν ἐκάμπτετο πρὸ τῆς θυέλλης τοῦ διωγμοῦ, ὑφιστάμενος καρτερικῶς πᾶσαν βάσανον. Κατὰ τὴν στιγμὴν ταύτην ὁ μάρτυς ἀνεμιμνήσκετο τῶν λόγων τοῦ Ἀποστόλου τῶν Ἐθνῶν Παύλου, «*πέπεισμαι γὰρ ὅτι οὔτε θάνατος οὔτε ζωὴ οὔτε ἄγγελοι οὔτε ἀρχαὶ οὔτε δυνάμεις οὔτε ἐνεστῶτα οὔτε μέλλοντα οὔτε ὕψωμα οὔτε βάθος οὔτε τις κτίσις ἑτέρα δυνήσεται ἡμᾶς χωρίσαι ἀπὸ τῆς ἀγάπης τοῦ Θεοῦ τῆς ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν* (Ρωμ. η΄ 38 - 39).

Ἀκολούθως ὁ μάρτυς Ἀγαθόνικος καὶ οἱ σὺν αὐτῷ δεδεμένοι ὁδηγοῦνται εἰς τὴν Θρᾴκην, ὅπου εὑρίσκετο ὁ Μαξιμιανός, ἵνα κριθῶσι παρ' αὐτοῦ. Καθ' ὁδὸν πρὸς τὴν Θρᾴκην ὁ Εὐτόλμιος ἐθανάτωσε εἰς τὸ χωρίον λεγόμενον *Ποταμοὶ* τὸν Ζήνωνα, τὸν Θεοπρέπιον καὶ τὸν Ἀκίνδυνον, διότι οἱ μακάριοι οὗτοι, ὡς ἐκ τῶν κακοπαθειῶν καὶ τῶν ἄλλων βασάνων, ἠδυνάτουν νὰ προχωρήσουν. Εἶχε καὶ δι' αὐτοὺς προετοιμασθῆ ὁ στέφανος τῆς δόξης: «*Οὓς δὲ προώρισε, τούτους καὶ ἐκάλεσε, καὶ οὓς ἐκάλεσε, τούτους καὶ ἐδικαίωσεν, οὓς δὲ ἐδικαίωσε, τούτους καὶ ἐδόξασε*» (Ρωμ. η΄ 30). Δεδοξασμένοι ἀληθῶς παρὰ Θεοῦ οἱ Μάρτυρες, οἱ Ὅσιοι, οἱ Δίκαιοι καὶ πάντες οἱ Ἅγιοι τῆς Ἐκκλησίας! Ὅτε δὲ μετ' ὀλίγον ἡ συνοδεία ἔφθασε πλησίον τῆς Χαλκηδόνος, ἐκεῖ «ξίφει τελειοῦται» καὶ ὁ Σεβηριανός, διότι καὶ οὗτος μετὰ θερμῆς πίστεως καὶ παρρησίας ἐκήρυττε τὸν Ἰησοῦν.

Ὅτε ἡ λοιπὴ μαρτυρικὴ συνοδεία ἀφίκετο εἰς τὸ Βυζάντιον, ὁ ἅγιος Ἀγαθόνικος μετὰ τοῦ εἰς Χριστὸν πιστεύσαντος πρίγκιπος καὶ τῶν ἄλλων δεσμίων, ὡδηγήθησαν πρὸ τοῦ Εὐτολμίου ἵνα μεταπεισθῶσιν ὅπως ἐγκαταλείψωσι τὴν εἰς Χριστὸν πίστιν των. Ἐπειδὴ ὅμως καὶ ἡ προσπάθεια αὕτη ἀπέβη ἄκαρπος, ὡδήγησαν ἔξω τῆς πόλεως τὸν μάρτυρα Ἀγαθόνικον, ἔνθα καὶ πάλιν σκληρῶς ἐκακοποίησαν. Ἀλλὰ καὶ ἡ νέα αὕτη βάσανος ἔτι ἐκράτυνε τὴν πρὸς τὸν Κύριον ἀφοσίωσιν τοῦ μάρτυρος, διότι στερρῶς ἐπίστευεν ὅτι διὰ τῆς χριστιανικῆς θρησκείας παρέχεται οὐ μόνον ἡ ἠθικὴ ἀπολύτρωσις καὶ ἡ αἰωνία ζωή, ἀλλὰ καὶ διανοίγονται ὁδοὶ δόξης καὶ ἰσχύος εἴς τε τὰς κοινωνίας καὶ τὰ κράτη, καθ' ὅσον αὕτη ἐξαγνίζει τὰς προαιρέσεις, προάγει τὴν ἀγάπην, τὴν δικαιοσύνην καὶ τὴν αὐταπάρνησιν καὶ καταρτίζει ἱκανοὺς τοὺς ἄρχοντας καὶ φιλονόμους τοὺς πολίτας. Ἡ ἰσχὺς λοιπὸν καὶ ἡ ἐλευθερία τοῦ πνεύματος, ἡ ἐκ τῆς διδασκαλίας τοῦ Χριστοῦ ἐκπηγάζουσα, εἶναι ἰσχυροτέρα πάσης ἀπειλῆς καὶ βίας καὶ ἱκανὴ νὰ καταισχύνη τοὺς ἰσχυροὺς τῆς γῆς.

Τέλος ὅσοι ἐπέζησαν ἔφθασαν δέσμιοι εἰς τὴν Σηλυβρίαν τῆς Θρᾴκης, ὅπου εὑρίσκετο ὁ βασιλεύς. Ἀλλὰ καὶ ἐνταῦθα δὲν ἀνέμενέ τις ἀλλαγὴν τῆς πίστεως καὶ τῆς ἀφοσιώσεως τῶν μαρτύρων εἰς τὸν Ἰησοῦν Χριστόν. Δὲν

www.tezaurliturgic.ro



ἐκάμφθησαν οὗτοι οὔτε μὲ τὰς νέας αὐτὰς βασάνους, εἰς τὰς ὁποίας τοὺς ὑπέβαλον, οὔτε δὲ πρὸ τοῦ μαρτυρίου των διενοήθησαν νὰ ἀρνηθῶσι τὸν Κύριόν των, ἀλλ' ἐν πλήρει ἀφοβίᾳ καὶ φαιδρότητι, διὰ τῆς δυνάμεως τοῦ Σταυροῦ καὶ τῆς χάριτος τοῦ Χριστοῦ ὁ μάρτυς Ἀγαθόνικος περιχαρὴς δέχεται τὸν δι' ἀποκεφαλισμοῦ θάνατον εἰς τόπον λεγόμενον *Ἄμμους* *, παρὰ τὴν Σηλυβρίαν, ἐναρμονίζων τὰ βήματα τῆς ζωῆς του μὲ τὸ ἅγιον τοῦ Θεοῦ θέλημα· *«περιεπάτησεν εὐσχημόνως ὡς ἐν ἡμέρᾳ, ἐνεδύθη τὸν Χριστὸν καὶ περιεφρόνησε τὴν σάρκα καὶ τὸν κόσμον»* (Ρωμ. ιγ' 13-14).

Ἴσην δὲ πρὸς αὐτὸν εὐψυχίαν ἐπέδειξαν καὶ οἱ λοιποὶ συναθληταί του, οἱ διὰ τὴν αὐτὴν αἰτίαν ἐν Νικομηδείᾳ συλληφθέντες, διότι καὶ οὗτοι περιχαρεῖς ἐβάδισαν πρὸς τὸ μαρτύριον «ξίφει τελειωθέντες», ἐπιβεβαιώσαντες τοὺς λόγους, τοὺς ὁποίους ἐκήρυττον, διὰ τῆς ἀποδοχῆς τοῦ μαρτυρίου των.

Νέα τοιουτοτρόπως ἅγια θύματα καὶ ἱερὰ σφάγια ὡς ὁλοκαυτώματα προσεφέρθησαν πρὸς δόξαν τοῦ Κυρίου ἡμῶν καὶ νέον μαρτυρικὸν αἷμα προσετέθη διὰ νὰ ποτίσῃ τὸ εὐσκιόφυλλον χριστιανικὸν δένδρον καὶ ἑδραιώσῃ τὴν Ἐκκλησίαν τοῦ Χριστοῦ ἐπὶ τῆς γῆς.

Οὗτοι οἱ ἅγιοι μάρτυρες ἐν βαθείᾳ πίστει καὶ παρὰ τοῦ Κυρίου δεχθέντες τὸν στέφανον τῆς ἀθλήσεώς των, προσδοκοῦν ἐν βεβαιότητι κατὰ τὴν ἡμέραν τῆς κρίσεως τὴν ἀνατολὴν τῆς περιλάμπρου ἡμέρας τῆς Ἀναστάσεως, ἵνα τότε ἐν μείζονι καὶ πλήρει δόξῃ πλησίον τοῦ Σωτῆρος ἡμῶν ζήσωσιν εἰς αἰῶνα τὸν ἅπαντα.

* Τόπος ἀμμώδης παρὰ τὸν αἰγιαλόν, οὐχὶ μακρὰν τῆς Σηλυβρίας.

www.tezaurliturgic.ro

# ΙΣΤΟΡΙΚΟΝ ΥΠΟΜΝΗΜΑ

Ὁ ἅγιος Ἀγαθόνικος, ἀθλήσας ἐπὶ Μαξιμιανοῦ (286 - 305), εἶναι εἷς τῶν ἐνδόξων μαρτύρων τῆς Ἐκκλησίας, τοῦ ὁποίου ἡ τιμὴ ἦτο εὐρύτατα διαδεδομένη ἐν τῇ Ἀνατολῇ εὐθὺς μετὰ τὸ μαρτύριόν του [1].

Περὶ τοῦ ἁγίου Ἀγαθονίκου καὶ τῶν σὺν αὐτῷ μαρτύρων Ζωτικοῦ, Ζήνωνος, Θεοπρεπίου, Ἀκινδύνου καὶ Σεβηριανοῦ, ὑπάρχει πραγματεία εἰς τὰ Acta Sanctorum [2], ἐν τέλει τῆς ὁποίας δημοσιεύεται σύντομος ἀφήγησις τοῦ μαρτυρίου τῶν ἁγίων τούτων, ἀγνώστου συγγραφέως, ἥτις, ἕνεκα τῆς ἁπλότητός της, ὁμολογεῖται ἀρχαία [3].

Διεξοδικωτέρα ἀφήγησις τοῦ μαρτυρίου τοῦ ἁγίου Ἀγαθονίκου ἐδημοσιεύθη τῷ 1883 ὑπὸ τοῦ G. Van Hooff εἰς τὰ Analecta Bollandiana [4].

Εἶναι γνωσταὶ καὶ ἄλλαι ἀνέκδοτοι μέχρι τοῦδε ἀφηγήσεις τοῦ μαρτυρίου τοῦ ἁγίου [5], μίαν τῶν ὁποίων δημοσιεύομεν ἐνταῦθα ἐκ τοῦ κώδικος Ω 157 (φ. 415 β - 421 β) τῆς ἐν Ἄθῳ Λαυριωτικῆς Βιβλιοθήκης [6].

Ἀπὸ τοῦ δ' αἰῶνος ὁ ἅγιος Ζωτικὸς «καὶ ἔνιοι ἕτεροι» ἦσαν ἐγγεγραμμένοι εἰς τὸν ἀριθμὸν τῶν μαρτύρων ἐν τῇ συριακῇ ἐπιτομῇ [7], ὁπόθεν περιελήφθησαν εἰς τὸ Μαρτυρολόγιον τοῦ Ἱερωνύμου καὶ τὰ ἀρχαῖα Συναξάρια.

Τίς ὁ ἅγιος Ζωτικὸς δὲν εἶναι γνωστὸν ἐκ τῶν μαρτυρικῶν ἀφηγήσεων, ἀλλ' ἡ μνεία μαθητῶν ἐπιτρέπει νὰ τὸν ὑποθέσωμεν Ἐπίσκοπον ἢ Πρεσβύτερον.

Ὁ ἅγιος Ἀγαθόνικος, κατὰ τὰς περὶ αὐτοῦ ἀφηγήσεις, ἕλκων τὴν καταγωγὴν ἐξ ἐπισήμου γένους καὶ υἱὸς τοῦ ἐπάρχου Ἀσκληπιάδου, προσήλκυσεν εἰς τὸν Χριστιανισμὸν πρίγκιπά τινα (princeps senati), τὸ ἀξίωμα δὲ τοῦτο εἴς τινα Μηνολόγια μετεβλήθη εἰς κύριον ὄνομα (Πρίγκιψ).

Ἡ μνήμη τοῦ ἁγίου Ἀγαθονίκου καὶ τῶν σὺν αὐτῷ ἑωρτάζετο ἔκπαλαι πανηγυρικῶς ἐν ΚΠόλει, ὅπου ὁ Μέγας Κωνσταντῖνος ἀνήγειρεν εἰς τιμὴν τοῦ μάρτυρος ναόν, ὅστις βραδύτερον ἀνεκαινίσθη ὑπὸ τοῦ αὐτοκράτορος Ἰουστινιανοῦ α' (527-565). Ἐπὶ αὐτοκράτορος Μαυρικίου (582-602) ὁ ναὸς οὗτος ἀπετέλεσε τμῆμα τῶν νεοανεγερθέντων αὐτοκρατορικῶν ἀνακτόρων, ἐγένετο δὲ καθεδρικὸς τῶν Πατριαρχῶν ΚΠόλεως ἐπὶ πεντήκοντα ἑπτὰ ἔτη, εἰς αὐτὸν δὲ ἐστέφθησαν τέσσαρες αὐτοκράτορες [8].

---

1. Ἡ μνήμη τοῦ ἁγίου Ἀγαθονίκου ἄγεται ὑπὸ τῆς Ἀνατολικῆς καὶ τῆς Δυτικῆς Ἐκκλησίας τῇ 22 Αὐγούστου.

2. *Aug.* IV, 519 - 523.

3. Πρβλ. καὶ *Analecta Bollandiana* τ. XXXI (1912) σ. 245 ἑξ.

4. Τόμος II, 99 - 115.

5. *BHG*[3] 41. Πρβλ. καὶ *Ἀθ. Παπαδοπούλου Κεραμέως,* Ἱεροσολυμιτικὴ Βιβλιοθήκη, Γ' σ. 45.

6. Ἰδὲ *Σπυρίδωνος Λαυριώτου - Σωφρ. Εὐστρατιάδου* Κατάλογος τῶν κωδίκων τῆς Μεγίστης Λαύρας..., ἀριθ. 1966[46], σ. 365.

7. *Martyrologium Romanum* (Propylaeum ad Acta SS. Decembris) 1940, σ. 353.

8. Ἰδὲ ἄρθρον τοῦ *S. Salaville* Agathonic (Saint) ἐν Dictionnaire d' histoire et de géographie ecclésiastiques, I, σ. 920 - 21 καὶ τὴν ἐν τέλει τοῦ ἄρθρου τούτου βιβλιογραφίαν.

www.tezaurliturgic.ro



Εἰς τὸν ναὸν τοῦτον, πλὴν τῶν ἱερῶν λειψάνων τοῦ μάρτυρος Ἀγαθονίκου, εὑρίσκοντο καὶ τὰ ἱερὰ λείψανα τοῦ ἁγίου Θαλελαίου, οὗτινος πανηγυρικῶς ἑωρτάζετο τῇ 20 Μαΐου καὶ ἡ μνήμη [1].

Κατὰ τὸ Συναξάριον τῆς Ἐκκλησίας ΚΠόλεως τοῦ ι' αἰῶνος, ἡ μνήμη τοῦ ἁγ. Ἀγαθονίκου ἑωρτάζετο καὶ εἰς τὸν ἐν ΚΠόλει ναὸν τῆς ἁγίας Θεοδώρας ἐν τῇ μονῇ Ξηροκέρκου [2].

Πανεόρτως ἐτιμᾶτο καὶ λαμπρῶς ἐπανηγυρίζετο ἡ μνήμη τοῦ ἁγίου καὶ ἐν Σηλυβρίᾳ, πλησίον τῆς ὁποίας ὑπέστη οὗτος τὸν δι' ἀποκεφαλισμοῦ μαρτυρικὸν θάνατον. Ἡ πόλις αὕτη, ἥτις ὑπῆρξε πολυσύχναστον προσκύνημα, κατεῖχε μέχρι τῆς καταστροφῆς καὶ ἐκδιώξεως τοῦ Ἑλληνισμοῦ ἐκ τῆς Θράκης (1922) τὴν θείαν κάραν τοῦ μάρτυρος, ἥτις σήμερον εὐλαβῶς φυλάσσεται ἐν τῷ ἐν Καβάλᾳ μητροπολιτικῷ ναῷ τοῦ τιμίου Προδρόμου μετὰ τοῦ ἱ. λειψάνου τῆς ὁσίας Ξένης καὶ ἄλλων κειμηλίων. Μέχρι τοῦ ιδ' αἰῶνος ἡ Σηλυβρία κατεῖχε τμήματα τῶν ἱερῶν λειψάνων τοῦ ἁγίου, τὰ ὁποῖα οἱ λατῖνοι, πλὴν τῆς ἱ. κάρας, μετέφερον εἰς τὴν Ῥώμην. Καθ' ἃ διηγεῖται ὁ Φιλόθεος ἀρχιεπίσκοπος Σηλυβρίας (ιδ' αἰ.) εἰς τὸ διασωθὲν ἐγκώμιόν του εἰς τὸν ἅγιον Ἀγαθόνικον [3], τὸ ὁποῖον καὶ ἀναδημοσιεύομεν ἐνταῦθα, πολλοὶ τῶν εὐσεβῶν χριστιανῶν κατεῖχον τμήματα τῶν ἱ. λειψάνων τοῦ ἁγίου «ὡς φυλακτήρια». «Ὁπόσοι δὲ ἐν τῇ περιφανεῖ πόλει Σηλυμβρίᾳ καὶ τοῖς περὶ αὐτὴν χωρίοις πονήρως καὶ ἀσθενῶς κατέκειντο —συνεχίζει ὁ Φιλόθεος— ἐλθόντες τῇ τοῦ θείου μάρτυρος τούτου σορῷ ἀπηλλάττοντο καὶ οὐδὲ ἴχνος ἀσθενείας ὅλως κατείχοντο..., ἡ δὲ θεία κάρα τοῦ μάρτυρος ποιεῖ θαυμάσια διηνεκῶς, ἰάσεις ἐπιτελοῦσα εἰς πάθη παντοδαπά, εἴς τε ἀλγηδόνας κεφαλῶν καὶ ἀρρωστίας σωμάτων, εἰς διακαεῖς πυρετούς τε καὶ ῥιγώσεις...». Ὁ Φιλόθεος διηγεῖται ὡσαύτως ὅτι Μανουὴλ ὁ Πορφυρογέννητος ἐθεραπεύθη ἐκ κεφαλαλγίας διὰ θαύματος τοῦ ἁγίου καὶ ὅτι ὕστερον εἰς τιμὴν αὐτοῦ ἵδρυσε ναὸν ἐν Σηλυβρίᾳ· ὅτι ὁ μέγας δοὺξ Ἀλέξιος, λυτρωθεὶς ἐκ κινδύνου ὑπὸ τοῦ μάρτυρος, ἵδρυσε ναὸν μεγαλοπρεπῆ ἐν τῇ θέσει Ἄμμους, ὅπου «ὁ ἅγιος τετελείωται τὸν μαρτυρικὸν δίαυλον» [4]· ὅτι τέλος ὁ βασιλεὺς Ἰωάννης Παλαιολόγος (1390) ἀπὸ νόσου σοβαρᾶς ἐλυτρώθη ὅταν τῷ προσεκόμισαν τὴν θείαν κάραν τοῦ μάρτυρος [5].

Πλὴν τοῦ ἐγκωμιαστικοῦ λόγου τοῦ Φιλοθέου εἶναι γνωστὸν καὶ ἄλλο ἐγκώμιον εἰς τὸν μάρτυρα Ἀγαθόνικον τοῦ Ἀναστασίου Κυαίστορος, ἀκμάσαντος ἐπὶ Λέοντος τοῦ σοφοῦ (886 - 912), τὸ ὁποῖον καὶ ἀναδημοσιεύομεν ἐνταῦθα [6].

Πλὴν τοῦ Ἰωσὴφ τοῦ Ὑμνογράφου, καὶ ὁ Θεοφάνης ἔγραψεν εἰς τὸν ἅγιον Ἀγαθόνικον κανόνα, ὅστις σῴζεται ἐν τῷ Παρισινῷ κώδ. 1575 φ. 211α καὶ τῷ Λαυριωτικῷ Ι 73 φ. 220α.

---

1. Πρεσβ. *Ἰ. Ῥάμφου*, ὁ ἅγιος μάρτυς Θαλέλαιος «Ἐκκλησία» τ. ΚΘ' (1952) σ. 184.
2. *Synaxar. Eccl. CP.* 913.
3. *Migne* 154, 1229 - 1240. Πρβλ. καὶ *BHG*³ 43.
4. Ἡ παράδοσις ἀναφέρει ὅτι ἐν Σηλυβρίᾳ, παρὰ τὸν αἰγιαλόν, εἰς τὸ τέρμα μεγάλης ἀρχαίας γεφύρας, ὑπῆρχε ἁγίασμα τοῦ μάρτυρος Ἀγαθονίκου, ἔνθα κατ' ἔτος τῇ 22 Αὐγούστου ἐν συρροῇ πλήθους εὐσεβῶν ἐψάλλετο ὁ Παρακλητικὸς κανών.
5. *Migne* ἔνθ' ἀν. 1237.
6. *Analecta Bollandiana* τόμ. V (1886) σ. 396 - 415. Πρβλ. καὶ *BHG*³ 42.

www.tezaurliturgic.ro

www.tezaurliturgic.ro

# ΜΑΡΤΥΡΙΟΝ
## ΤΟΥ ΑΓΙΟΥ ΜΕΓΑΛΟΜΑΡΤΥΡΟΣ ΑΓΑΘΟΝΙΚΟΥ ΚΑΙ ΤΩΝ ΣΥΝ ΑΥΤΩι

Εὐλόγησον Πάτερ.

Μαξιμιανὸς ὁ βασιλεὺς ἐκ Νικομηδείας ἀπάρας ἐπὶ τὰ Θρᾳκῶα μέρη, κατέλιπεν ἐπιμελητὴν τῆς αὐτοῦ δεισιδαιμονίας, Εὐτόλμιόν τινα κόμητα, ζηλωτὴν ὑπάρχοντα θερμὸν τῆς τῶν εἰδώλων θρησκείας. Ὃς ἅμα τῷ ἀπάραι τὸν βασιλέα τῆς πόλεως, σπεύδων ἀρέσαι τούτῳ, ἀποστείλας ἐπὶ τὰ παραθαλάσσια τοῦ Πόντου ἐν χωρίῳ λεγομένῳ Κάρπη, συλλαμβάνει τὸν ἅγιον Ζωτικόν, ὑπό τινων ταξεωτῶν διαβληθέντα ὡς Χριστιανὸν καὶ τοὺς θεοὺς βλασφημοῦντα· ᾧ καὶ παραστάντι φησὶν ὁ Εὐτόλμιος. Τίς καλῇ; Καὶ ὁ ἅγιος ἔφη: τὸ τίμιον καὶ ἔνδοξον ὄνομά μου Χριστιανὸς καὶ εἰμὶ καὶ λέγομαι, ἀφ' οὗ καὶ γεγένημαι. Τὸ ἐν ἀνθρώποις δὲ ὄνομά μου, ὃ ἐν τῇ ἀναγεννήσει τοῦ θείου λουτροῦ ἔλαβον, Ζωτικὸς ἐκλήθην, ἐξ οὗ καὶ ζωὴν τὴν ἐν Χριστῷ μετέρχομαι. Ὁ κόμης λέγει: καὶ τί ἐστι Ζωτικὲ προτιμότερον καὶ εὐαρμοστότερον θύειν τοῖς εὐμενέσι θεοῖς καὶ ζῆν μεθ' ἡμῶν καὶ ἀπολαύειν τοῦ ἡδίστου φωτὸς τούτου καὶ τιμᾶσθαι ὑπὸ τῶν βασιλέων καὶ ἡμῶν, ἢ ὡς ἀνταίροντα καὶ ἀπειθῆ ὄντα, ἀσχήμονι θανάτῳ τὸν βίον ἀνταλλάξαι; Οὕτω γὰρ καὶ οἱ νόμοι θεσπίζουσιν ὑπείκειν τοῖς δεσπόταις καὶ πληροῦν τὰ τούτων προστάγματα· παρὰ γὰρ Θεοῦ ἐδόθησαν τοῦ ἄρχειν ἡμῶν καὶ δεῖ τούτων τὸ θέλημα ποιεῖν καὶ μὴ ἀντιτάσσεσθαι· οὕτω γὰρ συμφέρον ἐστὶ πάντα ἀνθρώπῳ. Καὶ ὁ Ζωτικὸς ἔφη: τοῦτό σοι ἔστω γνωστόν, ὅτι ἀπειθὴς τῶν ἁγίων γραφῶν γενέσθαι οὐ δύναμαι, καθὼς τινες τῶν καθ' ὑμᾶς καταφρονηταί. Καὶ ὁ κόμης λέγει: θέλησον ἀκοῦσαί μου καλῶς σοι συμβουλεύοντος καὶ θῦσον τοῖς θεοῖς καὶ μὴ κακῶς ἀποθάνῃς κατὰ τὸ βασιλικὸν πρόσταγμα. Ὁ δὲ Ζωτικὸς εἶπεν: ἐὰν ὁ Χριστός μου θέλῃ ἵνα θυσία αὐτῷ γένωμαι καὶ διὰ τῆς ὑπομονῆς δοξασθῇ τὸ ὄνομα αὐτοῦ τὸ ἅγιον, τί ἀναμένεις καὶ οὐ ποιεῖς ἐν ἐμοὶ τὰ δοκοῦντα σοι κατὰ τὸ βασιλικόν σου πρόσταγμα; Ὀργισθεὶς δὲ ἐπὶ τούτοις ὁ κόμης λίαν ἐπισκεψάμενός τε τὸ βασιλικὸν πρόσταγμα, καὶ τοῦτο ὑποδείξας αὐτῷ ὅτι γεγραμμένον ἐστι, μὴ δεῖ Χριστιανὸν ζῆν ἐν τῇ αὐτοῦ βασιλείᾳ, ἐκέλευσε τοῦτον ξίφει τὴν ζωὴν διαπερᾶσαι, πᾶσι τοῖς ὑπηκόοις αὐτοῦ ἐπιτρέψας τοῦ ἀναλίσκειν πάντα Χριστιανὸν τὸν ὑπὸ τὴν χεῖρα αὐτῶν εὑρισκόμενον. Ὡς καί τινας τῶν ἀσεβῶν ἀφορμὴν ἐντεῦθεν εὑρόντας, περιτρέχειν πανταχοῦ καὶ τοὺς εὑρισκομέ-

www.tezaurliturgic.ro



νους Χριστιανοὺς ἀνεξετάστως, πᾶσιν ὅπλοις τοῖς παρατυγχάνουσι, λίθοις τε καὶ ξύλοις καὶ μαχαίραις θανατοῦν ἀφειδῶς. Πολλοὶ δὲ ταῦτα ὁρῶντες, λάθρα ἀναχωροῦντες καὶ ἐν τοῖς ἰδίοις κτήμασιν ἀπερχόμενοι, κατ᾽ ἰδίαν τῷ Θεῷ δουλεύοντες, ταῖς ἁγίαις γραφαῖς σχολάζοντες.

Τοῦ δὲ ἁγίου Ζωτικοῦ τὴν ἐπὶ θανάτῳ ὁδὸν πορευομένου, ἠκολούθησαν αὐτῷ πολλοὶ τῶν μαθητευσάντων αὐτῷ, προθύμως καὶ αὐτοὶ τὴν ὑπὲρ Χριστοῦ σφαγὴν δεξάμενοι· οὓς ἰδὼν ὁ μακάριος μάρτυς, ἠγαλλιάσατο τῷ πνεύματι καὶ εἶπεν: ἰδοὺ ἐγώ, Κύριε, καὶ τὰ παιδία ἅ μοι δέδωκας. Ἐλθὼν δὲ ἐπὶ τὸν τόπον, ἐν ᾧ ἔμελλε τελειοῦσθαι, ἐπὶ πολλὰς ὥρας ηὔξατο, καὶ μετὰ τὴν εὐχήν, αὐτός τε καὶ οἱ σὺν αὐτῷ μαθηταί, ἀπεκεφαλίσθησαν. Τινὲς δὲ τῶν παρεστώτων λάθρα τῇ νυκτὶ τὰ τίμια τούτων σώματα ἀνελόμενοι, κατέθεντο ἔν τινι τόπῳ, μύροις πολυτελέσι καὶ σινδόσιν εἰλήσαντες εἰς δόξαν Χριστοῦ τοῦ Θεοῦ ἡμῶν.

Μετὰ τὴν τελείωσιν τοῦ ἁγίου μάρτυρος Ζωτικοῦ, προσελθόντες τινὲς ἱερεῖς τῶν εἰδώλων, εἶπον πρὸς τὸν κόμητα ὅτι ἔστι τις ἀνὴρ νέος τὴν ἡλικίαν, πολλὴν ἐπιστήμην ἔχων τῶν χριστιανικῶν γραφῶν, ὅστις τῇ συναίσει καὶ σοφίᾳ αὐτοῦ πολλοὺς ἀποστήσας τῆς ἡμετέρας θρησκείας, τῷ Χριστῷ προσοικειοῖ· μεθ᾽ ὧν καὶ τὸν πρῶτον πρίγκιπα τῆς πόλεως ἡμῶν εἰς ἑαυτὸν ἀφελκύσας, ἐν χωρίῳ Κυβαίνων διάγειν μετὰ καὶ ἄλλων πολλῶν, κἀκεῖ τῷ Χριστῷ αὐτῶν λατρεύοντες, τοὺς ἡμετέρους Θεοὺς βδελύττονται καὶ βλασφημοῦσι. Κελεύσει δὲ τοῦ ὑμετέρου κράτους ἀχθῆναι αὐτὸν καὶ παραγγελθῆναι μὴ ἀποσπᾶν ἐπὶ πλεῖον τοὺς ἡμετέρους καὶ τῷ ἑαυτοῦ προσάγειν Θεῷ. Ἐπὶ τούτοις ὁ κόμης ὡς ὑπὸ δαίμονος ἐμμανὴς γενόμενος, κελεύει εὐθὺς βαρεῖαν δύναμιν στρατιωτῶν πορευθῆναι ἐπὶ τὸ ἀγαγεῖν αὐτοὺς ἀπὸ Κυβαίνων εἰς Νικομήδειαν. Οὓς ἰδὼν ὁ ἅγιος Ἀγαθόνικος πόρρωθεν πρὸς αὐτὸν ἀφικνουμένους, ηὐχαρίστησε τῷ Θεῷ καὶ εἶπε: δόξα σοι ὁ Θεὸς ἡμῶν, ὅτι φῶς ἡμῖν ἐφάνης τοῖς ἐν σκότει ἀγνοίας πορευομένοις, καὶ ἐπὶ τῷ ὀνόματί σου θαρρῶν, πορεύσομαι ἐν τῇ ὁδῷ τῶν μαρτυρίων σου. Δοξάζω σου τὸ πολυΰμνητον ὄνομα εἰς τοὺς αἰῶνας ἀμήν. Πληρώσαντος δὲ αὐτοῦ τὴν εὐχήν, λέγει τοῖς στρατιώταις: δι᾽ ἐμὲ παραγεγόνατε; Οἱ δὲ εἶπον· τὰ περὶ σοῦ ἀκηκοὼς ὁ κόμης Εὐτόλμιος ἐπιζητεῖ τοῦ ἰδεῖν σε καὶ γνῶναι τὴν σὴν σύνεσιν. Ὁ δὲ ἅγιος Ἀγαθόνικος λέγει: τοῦ Χριστοῦ μου κελεύοντος πορευσόμεθα καὶ ἀναγγελοῦμεν τὰ θαυμάσια αὐτοῦ. Ἰδόντες δὲ οἱ στρατιῶται τὸ εὐπρόθυμον τοῦ ἀνδρὸς καὶ τὸ εὐγενὲς αὐτοῦ τῶν ἠθῶν, κατηνύγησαν καὶ αὐτοὶ ἐν τῇ τοῦ Χριστοῦ πίστει. Ὡς δὲ ἀπῇραν ἐκ Κυβαίνων πρὸς Νικομήδειαν, λέγει τοῖς στρατιώταις ὁ ἅγιος Ἀγαθόνικος: νουθετεῖτε ἀδελφοί μου πνευματικοὶ εἰς τὸν τοῦ Χριστοῦ φόβον καὶ μηδένα πλήττετε καθὼς ὑμῖν ἐντέταλται ἀναιρεῖν πάντας Χριστιανούς· ὧν καὶ τὸ κρῖμα λήψεσθε ἐν τῇ δικαιοκρισίᾳ τοῦ Θεοῦ. Εἰδὼς γὰρ ταῦτα τὰ ὑφ᾽ ὑμῶν γινόμενα ὁ Χριστός, προὔλεγε τοῖς ἑαυτοῦ μαθηταῖς, ὅτι παραδώσουσιν ὑμᾶς

www.tezaurliturgic.ro



οἱ ἄνθρωποι εἰς τὰ συνέδρια· καὶ ὑπὸ ἀδελφῶν καὶ συγγενῶν καὶ φίλων παραδοθήσεσθε διὰ τὸ ὄνομά μου, ἃ καὶ ἐξέβη καὶ παρ' ὑμῶν ἀνηλεῶς διαπράττεται.

Φθάσαντες δὲ τὴν πύλην τῆς πόλεως, ηὐχαρίστησε τῷ Θεῷ καὶ εἶπε: χαίροις ἡ πόλις Νικομήδεια, τῆς μακαρίας μητρὸς ἡμῶν Ἱερουσαλὴμ θυγάτηρ, ἡ, πληθὺν μαρτύρων τῷ Χριστῷ ὡς προσφορὰν προσάγουσα. Εὐχαριστῶ οὖν σοι, Κύριε, τῷ οὕτω τὰ κατ' ἐμὲ οἰκονομήσαντι καὶ καταξιώσαντί με ἐλθεῖν ἐπὶ τὸ παρὸν στάδιον τοῦ ἐξομολογήσασθαι τῷ ὀνόματί σου τῷ ἁγίῳ. Ταῦτα εἰπών, εἰσῆλθεν ἐν τῇ πόλει· ὁ οὖν κόμης, τὴν ἔλευσιν αὐτοῦ μαθών, καὶ καθήσας ἐν τῇ βασιλικῇ, ἐν τόπῳ λεγομένῳ Λαύσῳ, ἐξέτασιν ἐποιεῖτο λέγων: ποῦ εἰσιν οἱ τὰ θεσπίσματα τῶν βασιλέων ἐξουθενοῦντες; Οἱ δὲ ταξιάρχαι τὸν ἅγιον Ἀγαθόνικον ἐνώπιον αὐτοῦ στήσαντες, εἶπον: παρίσταται τῇ λαμπρότητί σου ὁ κορυφαῖος ἐν Χριστιανοῖς Ἀγαθόνικος, γένους μεγίστου, Ἱππασίου μὲν τοῦ μεγάλου τυγχάνων ἀπόγονος, γέννημα δὲ Ἀσκληπιάδου τοῦ ἐπάρχου, σὺν τῇ μητρὶ διάγων ἐν κώμῃ Κυβαίνων, ὃς καὶ τὸν πρίγκιπα τῆς ἐνθάδε συγκλήτου πείσας, προσήγαγε τῷ Χριστῷ καὶ τοὺς θεοὺς ἀθετεῖ. Λέγει δὲ ὁ κόμης πρὸς τὸν ἅγιον: Ἀγαθόνικε, ὁμολογεῖς ταῦτα οὕτως ἔχειν; Καὶ πῶς γένους τῶν ἀνικητόρων ὑπάρχων, ὡς ἡ τάξις λέγει τοὺς πειθαρχοῦντας τῷ προστάγματι τῶν βασιλέων ἀναπείθεις ἀφίστασθαι τῆς τῶν θεῶν εὐμενείας; Ὁ ἅγιος Ἀγαθόνικος εἶπε· δίκαιόν ἐστι πειθαρχεῖν Θεῷ καὶ οὐκ ἀνθρώποις, καθὰ καὶ ὁ Ἀπόστολος διδάσκει καὶ Δαβὶδ ὁ Προφήτης βοᾷ, ἀγαθὸν πεποιθέναι ἐπὶ Κύριον ἢ πεποιθέναι ἐπ' ἄνθρωπον, ἀγαθὸν ἐλπίζειν ἐπὶ Κύριον ἢ ἐλπίζειν ἐπ' ἄρχουσι, φθαρτοῖς καὶ θνητοῖς τοῖς ἀσυνέτοις ὑμῶν βασιλεῦσιν. Ὄντως γὰρ ἀσύνετοι ὑπάρχουσι οἱ βασιλεῖς ὑμῶν, μὴ ἐπιγνόντες τὸν ἀληθινὸν Θεὸν ἡμῶν, ὡς ὁ ματαιόφρων Νουμεριανὸς ἐλεγχθεὶς ὑπὸ τοῦ μακαρίου Βαβύλα, ὁπότε μιαιφονήσας ἐβουλήθη εἰσελθεῖν εἰς τὴν ἐκκλησίαν τῶν Χριστιανῶν, καὶ μὴ ἐνεγκὼν τὴν παρρησίαν αὐτοῦ, μάτην ἀνεῖλεν αὐτόν. Ἀλλὰ καὶ Ρωμανὸς ὁ ἔνδοξος μάρτυς, παρρησίᾳ πολλῇ χρησάμενος, τὸν ἐμὸν πατέρα Ἀσκληπιάδην, ἔπαρχον ὄντα, ἐνέτρεψεν ἐνώπιόν μου, νηπίου μου τότε ὄντος, καὶ παρεστῶτος αὐτῷ ὡς πατρί, καὶ ἃ τότε ὁ μάρτυς τοῦ Χριστοῦ ἐλάλει πρὸς αὐτόν, ἐγὼ νουνεχῶς ἤκουον, καὶ μέχρι τοῦ νῦν ἐν τῇ διανοίᾳ μου κατέχων ἐπίσταμαι ἀκριβῶς, ὅς γε καὶ ἀσυνέτως ποιῶν, ἐκέλευσε τὴν γλῶσσαν αὐτοῦ ἀποτμηθῆναι, λαλοῦσαν τὰ τοῦ Χριστοῦ μυστήρια. Καὶ ὅτι αὐτὸν τὸν ἀληθινὸν Θεὸν καὶ Σωτῆρα τοῦ παντὸς δεῖ φοβεῖσθαι καὶ ταπεινοῦν τὰς ψυχὰς ἡμῶν καὶ μὴ σκληροκάρδιοι γίνεσθε ἁρπάζοντες τὰ ἀλλότρια, μήτε ὑπερηφανεύεσθε, μήτε καταδυναστεύειν τῶν ὑπηκόων· καὶ ὅτι μέλλετε, καθὼς πάντες οἱ βασιλεῖς Ρωμαίων, κακῷ θανάτῳ τελευτῆσαι. Ταῦτα οὖν εἰδὼς ἐγὼ ἐν ἀληθείᾳ γεγονότα καὶ φοβηθεὶς μὴ κἀγὼ τὰ ὅμοια πάθω σὺν ὅλῳ τῷ τῆς μητρός μου οἴκῳ, ἰδιάζοντες μετὰ πόθου τὰς γραφὰς ἐρευνῶμεν, ἐννοοῦντες

www.tezaurliturgic.ro



ἀεὶ καὶ λέγοντες τό, μὴ φοβοῦ ὅταν πλουτίσῃ ἄνθρωπος, ἢ ὅταν πληθυνθῇ ἡ δόξα τοῦ οἴκου αὐτοῦ, ὅτι οὐκ ἐν τῷ ἀποθνήσκειν αὐτὸν λήψεται τὰ πάντα, οὐδὲ συγκαταβήσεται αὐτῷ ἡ δόξα αὐτοῦ· καὶ ὅτι ἄνθρωπος ἐν τιμῇ ὤν, οὐ συνῆκε, παρασυνεβλήθη τοῖς κτήνεσι τοῖς ἀνοήτοις καὶ ὡμοιώθη αὐτοῖς.

Ἐν τούτοις οὖν ἐγὼ τοῖς θείοις λόγοις φιλοπονῶν, εἴ τινα πλανώμενον εὗρον ἐκ τῆς ἀληθινῆς ὁδοῦ, ἔλεγον τὰ τοῦ Ἀποστόλου ῥήματα· (ἤτοι) τοῦ ἐπιστρέφειν ἐπὶ Θεὸν ζῶντα ἀπὸ τῆς τῶν εἰδώλων πλάνης, ἄξια τῆς μετανοίας ἔργα πράσσοντες, αὐτῷ μόνῳ λατρεύειν καὶ προσκυνεῖν, μεμνημένος καὶ τοῦ Ἀποστόλου Ἰακώβου λέγοντος: Ὁ ἐπιστρέφων ἁμαρτωλὸν ἐκ πλάνης ὁδοῦ, σώσει ψυχὴν ἐκ θανάτου καὶ καλύψει πλῆθος ἁμαρτιῶν. Εἴθε οὖν καὶ αὐτὸς ἐπείσθης μοι καλῶς σοι συμβουλεύοντι καὶ βοῶντι πρός σέ τε καὶ πάντας τὸ τοῦ Ἀποστόλου ῥητόν· μιμηταί μου γίνεσθε καθὼς κἀγὼ Χριστοῦ, καὶ ὅτι οὐδὲν εἰσενέγκαμεν εἰς τὸν κόσμον δηλονότι, (καὶ) οὐδὲν ἐξενεγκεῖν τι δυνάμεθα.

Ταῦτα ἀκούσας ὁ κόμης καὶ ἐνεὸς γενόμενος, λέγει πρὸς τὸν ἅγιον μετὰ θυμοῦ: ἐξέστησας ἡμᾶς Ἀγαθόνικε· λοιπὸν χρεία ἐστὶ σοφῶν ἀνδρῶν τῶν δυναμένων σοι πρὸς ταῦτα ἀντιλέγειν. Ὁ δὲ Ἀγαθόνικος εἶπε: κἂν πάντας τοὺς τῆς ἑλληνικῆς σοφίας ἐπιστήμονας παραγάγῃς μοι, ἀνίκητόν με εὑρήσεις. Οὐ γὰρ δυνήσονται τῇ τοῦ ἐμοῦ Θεοῦ τοῦ Κυρίου Ἰησοῦ Χριστοῦ σοφίᾳ ἀντιστῆναι· γέγραπται γὰρ ἐν τοῖς ἱεροῖς ἡμῶν καὶ θείοις εὐαγγελίοις ὑπ' αὐτοῦ τοῦ Κυρίου ἡμῶν τοῖς αὐτοῦ μαθηταῖς ἐντειλαμένου: ὅταν προσφέρωσιν ὑμᾶς ἐπὶ τὰς συναγωγὰς καὶ τὰς ἀρχὰς καὶ τὰς ἐξουσίας μὴ μεριμνήσητε πῶς ἢ τί ἀπολογίσησθε, ἢ τί εἴπητε. Ἐγὼ γὰρ δώσω ὑμῖν στόμα καὶ σοφίαν, ᾗ οὐ δυνήσονται ἀντειπεῖν, οὐδὲ ἀντιστῆναι πάντες οἱ ἀντικείμενοι ὑμῖν. Μὴ οὖν πειρῶ δι' ἀνθρωπίνης μηχανῆς ἢ βασάνων ἢ κολακειῶν ἐμὲ πείσειν, ἀλλ' εἴ τι βούλει, τοῦτο ποίησον. Ὁ δὲ κόμης λέγει πρὸς τὸν μάρτυρα: δοκεῖς, Ἀγαθόνικε, διὰ τῆς πειθανολογίας σου κἀμὲ ποιῆσαι Χριστιανόν; Ὁ ἅγιος Ἀγαθόνικος ἔφη: εὔχομαι τῷ Θεῷ μου, οὐ μόνον σέ, ἀλλὰ καὶ πάντας ἀνθρώπους γενέσθαι Χριστιανοὺς καθάπερ κἀγώ. Ὁ δὲ κόμης θυμωθεὶς ἐπὶ πλεῖον, κελεύει, τόν τε Ἀγαθόνικον καὶ τοὺς σὺν αὐτῷ Χριστιανούς, μαστιχθέντας σφοδρῶς, τηρηθῆναι ἐν εἱρκτῇ ἄχρις οὗ τούτους ἀπαγάγει πρὸς τὸν βασιλέα. Τούτου οὖν γενομένου, μεθ' ἡμέρας τινὰς ὁ κόμης ἐν τῷ Βυζαντίῳ μέλλων ἀπαίρειν, προσέταξε τοὺς ἁγίους ἀκολουθῆσαι αὐτῷ δεσμίους ὄντας. Οἱ δὲ ἐν Νικομηδείᾳ πιστοί, προπέμποντες τόν τε ἅγιον Ἀγαθόνικον καὶ τοὺς σὺν αὐτῷ ἐφ' ἱκανὸν τόπον, παρεκάλουν αὐτοὺς καὶ ὑποστηρίζοντες τὴν ὑπὲρ Χριστοῦ μαρτυρίαν, πρὸς οὓς ὁ ἅγιος Ἀγαθόνικος εἶπε: μὴ λυπῆσθε ἀδελφοί μου· ἐλπίζω γὰρ εἰς τὸν Δεσπότην ἡμῶν Χριστόν, ὅτι ταῖς εὐχαῖς ἡμῶν τελειωθήσεται κατὰ τὸ θέλημα τοῦ Θεοῦ καὶ ὁ ἡμέτερος πρὸς τὸν Χριστὸν δρόμος.

Ἐλθὼν τοίνυν ὁ κόμης εἰς χωρίον λεγόμενον Ποταμούς, θέλων καὶ

www.tezaurliturgic.ro



τοὺς ἐκεῖσε καταπλῆξαι Χριστιανούς, τῶν συνόντων τῷ ἁγίῳ Ἀγαθονίκῳ Χριστιανῶν, τρεῖς, ὧν τὰ ὀνόματα, Ζήνων, Ἀκίνδυνος καὶ Θεοπρέπιος, πολλαῖς μάστιξιν αἰκισάμενος, καὶ μὴ πείσας θῦσαι τοῖς θεοῖς, τὴν διὰ ξίφους αὐτοῖς τελείωσιν δέδωκεν· οἳ καὶ ὑπὸ τῶν ἐκεῖσε Χριστιανῶν ἐκηδεύθησαν, δοξαζόντων τὸν Θεὸν ἐπὶ τῇ τῶν ἁγίων μαρτύρων ὁμολογίᾳ.

Ὅτε οὖν ἐν Χαλκηδόνι ἔφθασαν τῇ πόλει, προσῆλθον αὐτῷ τινες τῶν καπικλαρίων λέγοντες: κύριε κόμη, ἔστι τις ἐν τῇ φυλακῇ καθειργμένος, γέρων μὲν καὶ τῷ σχήματι τίμιος εἶναι δοκῶν, πολλῷ δὲ νοσήματι κεκρατημένος τῆς τῶν Χριστιανῶν ἀπονοίας, Σεβηριανός, τοὔνομα, ὃς οὐ παύεται πάντας τοὺς ἐν τῇ φυλακῇ δεσμώτας τε καὶ ἄλλους εἰσερχομένους ἐπιστηρίζων καὶ διδάσκων σέβεσθαι τὸν Χριστὸν καὶ αὐτὸν μόνον ἡγεῖσθαι Θεόν. Κελεύσει οὖν τὸ ὑμέτερον κράτος, ἀπαλλάξαι τοῦτον τοῦ ζῆν, ἵνα μὴ ἐπὶ πλεῖον τὰ μὲν ἡμέτερα τῶν θεῶν σεβάσματα σμικρύνηται, τὰ δὲ τῆς αὐτῶν θρησκείας αὔξηται. Τότε ὁ κόμης κελεύει αὐτὸν παραστῆναι καί φησι πρὸς αὐτόν: Σεβηριανέ, ὁρῶ σε καὶ γέροντα καὶ σεμνὸν καὶ πολλῶν ἔμπειρον πραγμάτων, καὶ θαυμάζω εἰ τοιαύτης ἡλικίας καὶ καταστάσεως, τὰ τῶν ἀσέμνων καὶ ἀπαιδεύτων ἀνδρῶν προαιρεῖν κατέχειν, καὶ μὴ τῷ τοῦ βασιλέως προστάγματι πείθεσθαι. Πείσθητι οὖν μοι ὡς φίλῳ καὶ ἀδελφῷ, τὰ συμφέροντά σοι συμβουλεύοντι καὶ μὴ κακῷ τοῦ ζῆν ἀπαλλαγῇς δι᾿ ἀπείθειαν. Ὁ δὲ ἅγιος Σεβηριανὸς ἔφη: εἰ καὶ γέρων καὶ σεμνὸς ἐγὼ σὲ δοκῶ, καὶ πολλῶν, ὡς λέγεις, πραγμάτων ἔμπειρος, μᾶλλον ὡς πατρί μου σὺ πείσθητι, καὶ καταλιπὼν τὴν ματαίαν πλάνην τῶν εἰδώλων, καὶ τῶν φθαρτῶν τούτων καὶ προσκαίρων βασιλέων τὴν ἀγάπην, γενοῦ Χριστιανός, κἀγὼ σοι ἐγγυῶμαι ὅτι κληρονόμος γενήσῃ τῆς τῶν οὐρανῶν βασιλείας ἅμα ἡμῖν τοῖς εἰς τὸν Χριστὸν ἠλπικόσι. Τότε ὁ ἄρχων ὑπερζέσας τῷ θυμῷ, ἐκέλευσεν αὐτοῦ ξίφει τὴν κεφαλὴν ἀποτμηθῆναι, ὃν οἱ ἐν Χαλκηδόνι Χριστιανοὶ ἀνελόμενοι, ἔξω τῆς πόλεως ἐκήδευσαν ἐν ἐπισήμῳ τόπῳ, ἔνθα παντοίας ἰάσεις καὶ θεραπείας νοσημάτων ὁ Κύριος ἡμῶν διὰ τοῦ ἁγίου μάρτυρος αὐτοῦ καθ᾿ ἑκάστην οὐ διαλείπει θαυματουργῶν. Μαθὼν οὖν ὁ ἅγιος Ἀγαθόνικος τήν τε τοῦ ἁγίου Σεβηριανοῦ καὶ τῶν ἐν Ποταμοῖς τελειωθέντων μαρτύρων, ηὐχαρίστησε τῷ Θεῷ ἅμα τοῖς σὺν αὐτῷ οὖσι μάρτυσι δεδεμένοις καὶ προσηύξατο λέγων: Κύριε Ἰησοῦ Χριστὲ ὁ Θεός μου καὶ ἡμᾶς ἀξίωσον ἐν τάχει συμμετόχους γενέσθαι τῆς τῶν ἁγίων σου λήξεως, καὶ παραστῆναί σοι τῷ ἀγαθῷ καὶ γλυκυτάτῳ Δεσπότῃ· ὅτι ἕνεκα τῆς σῆς ἀγάπης διὰ βασάνων καὶ ποικίλων κολάσεων σπεύδομεν φθᾶσαί σε καὶ τοῦ σοῦ κάλλους καταπολαῦσαι.

Ὁ δὲ κόμης ἀπὸ Χαλκηδόνος ἐπὶ τὸ Βυζάντιον διαπεράσας, ἐκέλευσε καὶ τοὺς περὶ τὸν ἅγιον Ἀγαθόνικον εὐθὺς διαπεράσαι, οὓς καὶ παραστῆσαι πάλιν ἐνώπιον αὐτοῦ προσέταξε, συνόντων αὐτῷ καὶ τῶν ἐν Βυζαντίῳ δικαστῶν. Παραστάντων οὖν αὐτῶν, οἱ δικασταὶ πρὸς τὸν ἅγιον

www.tezaurliturgic.ro



᾿Αγαθόνικον εἶπον: τὸ εὐγενὲς τοῦ γένους σου καὶ τῶν τρόπων τὸ καλόηθες, ἔκ τε τῆς ἐν σοὶ συνέσεώς τε καὶ σοφίας καὶ φρονήσεως τὸ περιόν, ἐκ πολλοῦ χρόνου μεμαθηκότες, ἄξιον ἐκρίναμεν εἶναι, μὴ παριδεῖν ἄνδρα τοιοῦτον ἀνουθέτητον ἐᾶσαι καὶ κακῶς ἀπολέσθαι δι᾿ ἀπείθειαν. Εἰ μὲν οὖν χρημάτων ἕνεκεν καὶ τιμῆς καὶ τῆς πρὸς τὸν βασιλέα παρρησίας ταύτην εἵλου τὴν δόξαν κατέχειν, ὅπως σε δῆθεν ὁ βασιλεὺς ἀναγκάσας περίβλεπτον ἐν τοῖς εἰρημένοις ἀποφήνειεν, ἡμεῖς σε τούτου γε ἕνεκεν ἀμέριμνον καταστήσομεν. Μόνον θῦσον τοῖς θεοῖς καὶ αὐτοὶ παραγενόμενοι πρὸς τὸν βασιλέα, πᾶσαν σου τὴν θέλησιν ἐκπληρώσωμεν. Εἰ δὲ ὄντως παρασκευάσας τὴν σὴν ψυχὴν ὥστε καὶ γένους περιφάνειαν καὶ βασιλέων τιμὰς περιειδεῖν καὶ τῆς σῆς μὴ ἀποστῆναι θρησκείας, ἀνάγκη καὶ ἐνταῦθα βασάνοις πικραῖς ὑποβληθῆναί σε καὶ πρὸς τὸν βασιλέα ἀπαχθέντα σε, κακηγκάκως μετὰ τῶν σὺν σοὶ τοῦ ζῆν ἀπαλλαγῆναι. Ὁ δὲ ἅγιος ᾿Αγαθόνικος εἶπε: καὶ εἴπερ ἐβουλόμην τοῦ βασιλέως γνώριμος καὶ φίλος γενέσθαι καὶ τῆς αὐτοῦ παρρησίας ἀπολαῦσαι, τίνα χρείαν ὑμῶν εἶχον ὥστε μεσίταις ὑμᾶς χρήσασθαι πρὸς αὐτόν; ᾿Αλλὰ τοῦτο πᾶς ὁ βουλόμενος, εἴτε βασιλεύς, εἴτε ἄρχων, εἴτε τις ἕτερος, ἀκουέτω παρ᾿ ἐμοῦ ὅτι ᾿Αγαθόνικος ἕτερον Θεὸν οὐκ ἐπίσταται· ἀλλ᾿ ἢ Χριστὸν τὸν ἀληθινὸν Θεὸν καὶ Σωτῆρα τοῦ κόσμου, τὸν Υἱὸν τοῦ Θεοῦ καὶ Πατρὸς καὶ ὁμοούσιον αὐτοῦ τε καὶ τοῦ Παναγίου Πνεύματος. Εἴτε οὖν πῦρ, εἴτε ξίφη, εἴτε βόθρον, εἴτε λιμόν, εἴτε τινὰ κάκωσιν ἑτέραν ἐπενέγκατέ μοι, ἀπὸ τῆς ἀγάπης αὐτοῦ χωρίσαι με οὐ δυνήσεσθε. Τοῦ λοιποῦ ὃ βούλεσθε ποιήσατε· ἐγὼ γὰρ καὶ οἱ σὺν ἐμοὶ δεδεμένοι, οὔτε ἐν βουλῇ ἀσεβῶν πορευσόμεθα, οὔτε ἐν ὁδῷ ἁμαρτωλῶν στησόμεθα, οὔτε ἐν καθέδρᾳ λοιμῶν καθήσομεν.

Ταῦτα τοῦ ἁγίου εἰρηκότος, πληγὰς αὐτοῖς ἀπήνεγκαν κατὰ παντὸς τοῦ σώματος, ἐπὶ τοσοῦτον, ὥστε τὰ σπλάγχνα αὐτῶν ὁρᾶσθαι. Οἱ δὲ ἐν Βυζαντίῳ Χριστιανοὶ ἐπερρώσθησαν ἐν τῇ τοῦ Χριστοῦ πίστει. Μαθὼν δὲ ὁ κόμης ἐν Σηλυβρίᾳ διάγειν τὸν βασιλέα, σπεύσας, ἀπήγαγε τοὺς ἁγίους πρὸς αὐτόν, καὶ διεξίει ἅπαντα αὐτῷ τὰ περὶ τοῦ ᾿Αγαθονίκου, καὶ ὡς αὐτὸν πολλάκις κολάσας, οὐκ ἴσχυσε πεῖσαι τῆς τῶν Χριστιανῶν ἀποστῆναι λατρείας. Ὁ δὲ βασιλεὺς ἰδὼν τὸν ἅγιον ᾿Αγαθόνικον, φησὶ πρὸς αὐτόν: ᾿Αγαθόνικε, τί ὧδε πρὸς ἡμᾶς παραγέγονας; Ὁ ᾿Αγαθόνικος ἔφη: διὰ Χριστὸν καὶ Σωτῆρά μου καὶ Θεὸν θέατρον ἐγενόμην ἐν τῷ κόσμῳ σὺν τοῖς ἁγίοις τοῖς οὖσι μετ᾿ ἐμοῦ, καὶ ᾿Αγγέλοις καὶ ἀνθρώποις καθὼς καὶ αἱ παρ᾿ ἡμῖν γραφαὶ λέγουσιν, ὅτι ἐξήλθομεν ἐξ ἔθνους εἰς ἔθνος, καὶ ἐκ βασιλείας, εἰς λαὸν ἕτερον. Οὐ γὰρ ἐπαισχυνόμεθα τὸ Εὐαγγέλιον τοῦ Χριστοῦ, ὅτι δύναμις Θεοῦ ἐστιν, εἰς τὸ ὄνομα τὸ ἅγιον αὐτοῦ. Καὶ ὁ βασιλεὺς λέγει: διδάσκειν ἐκλήθης ἢ πείθεσθαι θύειν τοῖς θεοῖς; Ὁ ἅγιος ᾿Αγαθόνικος εἶπεν: εἴθε ἐδιδάχθης διδασκαλίαν ζωῆς αἰωνίου, ἣν ἡμεῖς ἐδιδάχθημεν, ἀφθόνως μεταδιδόναι τοῖς βουλομένοις προσδέξασθαι τὴν ἀληθῆ καὶ σωτήριον ὁδὸν τοῦ Χριστοῦ,

www.tezaurliturgic.ro



ὃς ἡμᾶς καλεῖ τῇ ἐνδόξῳ αὐτοῦ καὶ θείᾳ φωνῇ· δεῦτε πρός με πάντες οἱ κοπιῶντες καὶ πεφορτισμένοι, ταῖς ἁμαρτίαις, κἀγὼ ἀναπαύσω ὑμᾶς καὶ βασιλείαν οὐρανῶν δωρήσομαι. Διὰ τοῦτο καὶ ἡμεῖς, τὰ σώματα ἡμῶν πάσῃ θλίψει παραδεδώκαμεν, ἵνα ρυσθῶμεν τοῦ αἰωνίου πυρός, ἐν ᾧ μέλλει ὁ ἀντικείμενος τῆς σωτηρίας ἡμῶν διάβολος μετὰ τῶν ἀγγέλων αὐτοῦ, εἰς οὓς ὑμεῖς πιστεύετε, καταδικασθῆναι σὺν ὑμῖν τοῖς ἀφρόνως ἡλπικόσιν ἐπ' αὐτοῖς, ὅπου ὁ σκώληξ ὑμῶν οὐ τελευτήσει καὶ τὸ πῦρ οὐ σβεσθήσεται. Ἔνθα ἔσται ὁ κλαυθμὸς καὶ ὁ βρυγμὸς τῶν ὀδόντων εἰς αἰῶνας ἀτελευτήτους κολαζόμενοι. Ἡμεῖς δέ, οἱ διὰ τὴν εἰς Χριστὸν ἀγάπην ἑαυτοὺς παραδόντες εἰς θάνατον, τῆς αἰωνίου βασιλείας ἀξιωθησόμεθα, καθὼς γέγραπται, ὅτι τίμιος ἐναντίον Κυρίου ὁ θάνατος τῶν ὁσίων αὐτοῦ, καὶ φυλάσσει Κύριος τὰς ψυχὰς τῶν ὁσίων αὐτοῦ ἐν ἀγαλλιάσει εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ταῦτα ἀκούσας ὁ βασιλεὺς καὶ σπεύδων τοῦ παραγενέσθαι πρὸς τὰ κατώτερα μέρη, ἀπεφήνατο οὕτως: ἰδοὺ καὶ αὐτός, Ἀγαθόνικε, κατὰ τὰς σὰς γραφάς, ἅμα τοῖς σὺν σοί, λήψῃ τὸν τίμιον ἐκεῖνον θάνατον διὰ ξίφους, τῶν ἐνθένδε ἀπολυόμενοι, ὡς ὑμεῖς λέγετε, καὶ εἰς αἰῶνας ἀγαλλιασόμενοι. Ὁ δὲ ἅγιος Ἀγαθόνικος πρὸς τὸν τῆς τελειώσεως ἀπαγόμενος τόπον, ηὐχαρίστησε τῷ Θεῷ λέγων: Εὐλογητὸς ὁ Θεός, ὃς οὐκ ἔδωκεν ἡμᾶς εἰς θήραν τοῖς ὀδοῦσιν αὐτῶν· ἡ ψυχὴ ἡμῶν ὡς στρουθίον ἐρρύσθη ἐκ τῆς παγίδος τῶν θηρευόντων. Ἡ παγὶς συνετρίβη καὶ ἡμεῖς ἐρρύσθημεν· ἡ βοήθεια ἡμῶν ἐν ὀνόματι Κυρίου, τοῦ ποιήσαντος τὸν οὐρανὸν καὶ τὴν γῆν. Ταῦτα ὁ μακάριος εἰπών, καὶ ἕτερα πλείονα εὐξάμενος, κλίνας τὰ γόνατα καὶ ἀναβλέψας εἰς τὸν οὐρανὸν εἶπεν: εἰς χεῖράς σου, Κύριε, παρατιθέμεθα τὰ πνεύματα ἡμῶν. Καὶ εὐθέως ἀπεκεφαλίσθη, μεθ' ὃν καὶ πρίγκιψ δεύτερος ἀπεκεφαλίσθη, καὶ καθεξῆς οἱ λοιποὶ μάρτυρες ἀπετμήθησαν τὰς κεφαλάς, ὧν τὰ ὀνόματα ἐν βίβλῳ ζωῆς.

Ἐτελειώθη δὲ ὁ ἅγιος Ἀγαθόνικος καὶ οἱ σὺν αὐτῷ μηνὶ Αὐγούστῳ εἰκάδι δευτέρα, βασιλεύοντος τοῦ ἀσεβεστάτου Μαξιμιανοῦ. Οἱ δὲ ἐκεῖσε Χριστιανοί, νυκτὸς ἀνελιξάμενοι τὰ τίμια αὐτῶν σώματα, μύροις τε εὐωδιάσαντες καὶ σινδόσιν εἱλίσαντες, ἐκήδευσαν καὶ κατέθεντο ἐν ἐπισήμῳ τόπῳ, εἰς δόξαν Χριστοῦ τοῦ ἀληθινοῦ Θεοῦ ἡμῶν, ᾧ πρέπει πᾶσα δόξα τιμὴ καὶ προσκύνησις, σὺν τῷ Πατρὶ καὶ τῷ Ἁγίῳ Πνεύματι εἰς τοὺς αἰῶνας τῶν αἰώνων, ἀμήν.

www.tezaurliturgic.ro

www.tezaurliturgic.ro

ΑΝΑΣΤΑΣΙΟΥ ΚΥΑΙΣΤΟΡΟΣ

# ΕΓΚΩΜΙΟΝ
## ΕΙΣ ΤΟΝ ΑΓΙΟΝ ΜΕΓΑΛΟΜΑΡΤΥΡΑ ΤΟΥ ΧΡΙΣΤΟΥ
## ΑΓΑΘΟΝΙΚΟΝ

Α΄. Λαμπρὰ μὲν τὰ τῆς ὑποθέσεως διηγήματα, λαμπρότερα δὲ καὶ τῆς κατ᾽ αὐτὴν θείας πανηγύρεως τὰ προβλήματα. Ἀθλοφορικὰ γὰρ τὰ ἀνδραγαθήματα· καὶ ταῦτα, οἷα καὶ λόγος γάννυται διηγούμενος, καὶ ἀκοὴ κόρον οὐκ ἔχει τούτων πρὸς τὴν ἀκρόασιν· οἷς τε Θεὸς ἐπιτέρπεται, καὶ σκιρτᾷ κόσμος ὁ ἐπουράνιος, ταῖς γηγενῶν φιλεόρτοις συνεορτάζων τάξεσιν. Ἀλλά γε φιλομάρτυρα βλέπων τὸν σύλλογον, τοῦ τε ποθουμένου τῶν ἄθλων ἐνωτισθῆναι γλιχόμενον μάρτυρος, κἂν πόρρω τοῦ δέοντος, ὅμως ἥκω τὸν ζωγράφον συνεισαγόμενος λόγον, οὐ πίναξι τὸν ἀθλητὴν ἐγχαράττοντα (τοὺς γὰρ τοιούτους ὁ γηραιὸς προσεισηγήσατο χρόνος), ἀλλ᾽ οἷς τὸ ἡδὺ καὶ τῇ πανηγύρει προσήκει, καὶ τοῖς ἀκροαταῖς ἐμποιεῖ σεμνυνόμενον.

Β΄. Τὴν μὲν οὖν ὠμότητα τῶν τῆς Ἑλληνίδος τυράννων ἔναυλον τοὺς παρόντας οἶμαι κεκτῆσθαι, ἀντίθεσιν δὲ τὴν τοῦ ῥηθησομένου μάρτυρος, καὶ τὴν πρὸς τὰ δεινὰ καρτερίαν, τήν τε πρὸς τοὺς ἐλέγχους παρρησίαν. Καὶ ὅσα τῶν μὲν τὸ ἀπάνθρωπον ἐμηχανᾶτο, τοῦ δὲ τὸ ἀνδρεῖον καὶ ὑπερανεστεκὸς (καὶ ἠλόγει τούτων καὶ κατεφρόνει), αὐτὰ μονονουχὶ φωνὴν ἀφιέντα, κἂν τις ἀγνοεῖν σχηματίζοιτο, τὰ κατορθώματα διηγήσαντο. Ἀλλ᾽ ἔδει πάντως τοιοῦτον τὸν καθ᾽ ἡμᾶς πρωτόκτιστον χρηματίσαι, ὅτε γύναιον ἐχειροτόνει πρὸς τὸ δέλεαρ ὁ ἀρχέκακος, καὶ μὴ ταῖς ἀπατηλαῖς ὑποθήκαις ὑποκλαπῆναι. Εἰ τότε γὰρ οὐχ ὑπῆρξεν ἐκεῖνος, οὐκ ἂν ὁ ἀλάστωρ πρὸς τυραννικὸν ἐξώκειλε τόλμημα. Ἀλλὰ κατωρθώσατο τὸ τοῦ πρωτογόνου ὁ ἐκ τῶν ἐκείνου ἀπογόνων, καταλύων μὲν τὸ τυραννικὸν τοῦ δελεάσαντος καὶ τ᾽ ἄλλα ὁπόσα τὸ τακτικὸν ἐμφανίσει τοῦ λόγου, ἀντεχόμενος δὲ τῆς ἐν Χριστῷ βασιλείας, ταύτης τε χρηματίζων διαγγελεύς, στεφανηφόρος τε καὶ ἀξιόχρεως κληρονόμος, Ἀγαθόνικος οὗτος, ὁ τῆς ἀγαθωνύμου νίκης ἐπώνυμος, ὁ τοῖς αἰτοῦσι τὰς δωρεὰς ὡς ἐξ ἀκενώτου χορηγῶν ταμιείου, ὁ ἀγαθὸς νικητής, μετὰ τοῦ κόσμου τοῦ κοσμοκράτορος, ὁ τῷ τῆς ἡλικίας νέῳ τὸ τοῦ φρονήματος γηραιὸν συνεισφέρων, ὁ ποταμὸς τῆς σοφίας, ὁ τὴν ἀχρειώδη ἅλμην τῶν εἰδωλικῶν ἐπικλύσας ὑδάτων, τῇ δὲ τῆς θεοσεβείας γλυκύτητι ἐκκλησίας καταρδεύσας τοὺς αὔλακας.

Γ΄. Ἀλλὰ τοῦτον, κἂν οὐρανοπολίτην ὁ τρόπος οἶδεν, πλὴν τῶν καθ᾽

www.tezaurliturgic.ro



ἡμᾶς ἐκφύντα τὸ τῶν Βιθυνῶν ἔθνος προβάλλεται. Ἡ τυρρανικὴ δὲ Νικομήδεια πατρὶς ἀναγράφεται, καὶ περιώνυμος πόλις, οὐκ ἐντὸς τιθηνήσασα τῶν περιβόλων (σμικρὸν μὲν γὰρ καὶ τούτων ἐντός), ἀλλά γε τὸ τέλεον τῆς ταύτης περιοικίδι, ἀγρῷ Κυβαίνων προσκεκλημένῳ, παραθεμένη αὐτόμολον, ἐκλεξάμενον παραρριπτεῖσθαι ἐν οἰκίσκῳ θεογνωσίας, ἢ οἰκεῖν ἐν πόλει σκηνωμάτων θεοστυγῶν. Οὐ μέντοι γε μόνος ἦν· ὁμοδίαιτον γὰρ τὴν τεκοῦσαν ὁ μάρτυς εἶχεν ὡς καὶ ὁμόθρησκον, θανάτῳ παραθεὶς τὸν γεννήτορα. Ἀσκληπιάδης δὲ ἦν ἐκεῖνος, οὕτως ὠνομασμένος, ὃς ταύτην ἐκεῖθεν ἠγάγετο (μητρῷον γὰρ τὸ χωρίον τῷ μάρτυρι), πολίαρχος χρηματίζων Νικομηδείας· ὕπαρχον δὲ τὸν τοιοῦτον τὰ τῆς πολιτείας οἶδεν καλεῖν ἔθιμα. Περιφανὴς δὲ ἦν καὶ τοῦ περιβλέπτου γένους· οὐδὲ γὰρ ἐξ ἰδιωτῶν ἢ τῶν τυχόντων πρὸς τὴν πολιταρχίαν ἠγμένοι, ἀλλ' Ἱππασίου ἀπόγονος ὤν· βασιλικῆς δ' ἐκεῖνον ἀγχιστείας οἱ τοῖς ἱστορίας παραδιδόασι λόγοι, θαυμάσιόν τε καὶ τοῖς πολέμοις, καὶ ταῖς εὐβουλίαις, ἀλλὰ καὶ τοῖς ἄλλοις πολιτικοῖς προτερήμασι. Τῆς οὖν Ἀσκληπιάδου ὀσφύος ὁ μάρτυς ἐκφὺς Ἀγαθόνικος, νηπιόθεν τῇ τοῦ πνεύματος λαμπηδόνι περιεστράφθη, ὥς τι τῶν μαργαρογόνων ὀστράκων τὰς ἐγκαρδίους πτύχους ἀναπετάσας, καὶ τὸν τῆς θεοσεβείας ἀτίμητον εἰσοικισάμενος μαργαρίτην· λάμπων μὲν τῇ χάριτι, συναύξων δὲ καὶ ταῖς ἀρεταῖς, καὶ τοσοῦτον τοῖς ἐξ αὐτῶν κοσμούμενος καλλωπίσμασιν, ὡς καὶ τῇ τοῦ γεννήτορος εὐπραγίᾳ κόσμος χρηματίζειν, καὶ τῇ τῶν προγόνων εὐγενείᾳ ὡραϊσμὸς ἐκπρεπέστατος, ὄλβος τε τῇ πόλει καὶ τοῖς ἥλιξιν ἐπεδείκνυτο, ἄξιον θέαμα τοῖς ὁρῶσιν. Ἐγλίχετο γὰρ πᾶς ὀφθαλμός, τῷ τοῦ μειρακίου κάλλει πειθόμενος, πρὸς αὐτὸν ἀσκαρδαμυκτεῖν, μὴ μέντοι μεταφέρειν τὰς κόρας ἐκβιαζόμενος· οἶδεν γὰρ ψυχικὴ ὡραιότης καὶ σῶμα κοσμεῖν καὶ θείαν ἐφέλκεσθαι χάριν, καὶ οὐ μόνον τοὺς ἐνατενίζοντας κατευφραίνειν, ἀλλὰ καὶ πρὸς ἔκπληξιν ἄγειν.

Δ'. Ἐπεδίδοτο δὲ καὶ γραμματισταῖς, καὶ τοῖς ἄλλοις ὁπόσοις ἑλληνικῆς δεισιδαιμονίας μεταδιδόναι μυστήρια. Ἀλλ' ἔμφυτον ὁ νεανίας τὸν θεῖον ἔρωτα κεκτημένος, τὰ τῶν εἰδώλων φυσικῶς ἐμυσάττετο, ὥς τις Ἀβραὰμ πρὸ τῆς ἡλικιώτιδος γνοὺς τὸν τοῦ παντὸς ἐργαστὴν καὶ συνοχέα Θεόν. Καὶ τὴν μὲν τοῦ γεννήτορος ὑπεβλέπετο κακοπραγίαν, ἅτε εἰδωλοθύτου καὶ σέβας λατρευτικὸν τοῖς ἀψύχοις προσνέμοντος. Ἤχθετο δὲ καὶ ταῖς κατὰ τῶν χριστιανῶν ἐπινοίαις αὐτοῦ, πολυτρόποις τε καὶ δυσεφίκτοις οὔσι, κἂν ἀκαίρους οὐδαμῶς ἐπεδείκνυτο τοὺς ἐλέγχους· πάντα γὰρ δεδίδακτο, ὡς καλὰ ἐν καιρῷ αὐτῶν. Ἐνεβριμεῖτο δὲ τούτου τοῖς ἀπονοίας, ὅτε θεόφθογγον ἀποτέμνοντα γλῶσσαν κατεῖδεν Ἀνθίμου τοῦ μάρτυρος, ἐλέγχουσαν μὲν τῆς τυραννίδος τὸ δυσσεβές, στεφανοῦσαν δὲ τὴν μαρτυρικὴν ἑαυτῆς κορυφήν. Ἀλλὰ πύλαι μὲν ᾅδου τὸν ὕπαρχον ὑπεδέχοντο, σὺν τῷ σωματικῷ καὶ τὸν ψυχικὸν ὑφιστάμενον θάνατον. Μετανάστης δὲ τῶν πατρῴων ὁ νεανίας ἐγίνετο· ἀγρὸς δὲ τοῦτον ὁ προῤῥηθεὶς ὑπεδέχετο τὰ μητρῷα οἰκεῖα, ἐν

www.tezaurliturgic.ro



οἷς ἐπ' ἀδέας ὁ θεῖος γενόμενος Ἀγαθόνικος, δοκίμιον τὴν ἀγχίνοιαν ταῖς ἑκατέραις ἐκ τῶν δογμάτων ἐδίδου θρησκείαις. Τῆς μὲν ἑλληνικῆς τὰ μυθώδη κατὰ νοῦν ἐθριάμβευέν τε καὶ εἰς οὐδὲν ἐλογίζετο πλάσματα, τῆς δὲ καθ' ἡμᾶς ἀληθείας τὰ πάντα σκοπῶν, ἐν οἷς τὸ ἀπλανὲς καὶ ἀνεπιτήδευτον κρίνων, αὐτῇ μᾶλλον ἢ ἐκείνῃ προσῳκειοῦτο· καὶ τοσοῦτον ταῖς μελέταις τὴν πρὸς τὰ θεῖα λόγια νυκτὸς καὶ ἡμέρας ἄσκησιν ἐπεδείκνυτο, ὡς βραχεῖ χρόνῳ τῇ ἀκρωρείᾳ προσεπιβῆναι τῆς γνώσεως, κἀκεῖθεν, ὥσπερ τις ἐπόπτης, τῶν χαμαιζήλων τὸ εὐτελὲς παραβλέπειν, καὶ ὅλος Θεῷ γίνεσθαι καὶ τῆς ἐν αὐτῷ ἀϊδίου δόξης ἐρᾶν, καὶ πρὸς τὴν κατάληψιν ἐκείνης ἐπείγεσθαι.

Ε΄. Εἶχε δὲ τὸ κραταιόν, ἅμα δὲ καὶ τὸ ἡδὺ τοῦ λόγου ἐναποστάζον, ὡς πᾶσαν μὲν ἀκοὴν καταθέλγειν, πᾶσαν δὲ καρδίαν εὐφραίνειν· οἷς πλείστους ὅσους ἂν ἀκροατὰς εὕρισκεν, αὐθωρὸν τῷ τῆς εὐσεβείας ἐφωταγώγει πυρσῷ, τὸ ζοφῶδες ἀποβαλλομένους τῆς πλάνης, τό τε φῶς ἐνδυομένους τῆς ἀληθείας. Πνεῦμα γὰρ Θεοῦ ἐν τῷ μάρτυρι καὶ τοῖς ῥήμασιν ἐπεφαίνετο καὶ τοῖς τῶν θαυμάτων σημείοις· δι' ὧν ἀπεῤῥαπίζετο μὲν τὰ τῶν βλασφήμων ἀπύλωτα στόματα, ἐκινεῖτο δὲ πρὸς αἶνον τὰ τῶν ὑπηκόων τῆς ἐνθέου διδασκαλίας, καὶ σχεδὸν κενὰ τὰ τῆς Ἑλληνίδος λατρεῖα, πλήρη δὲ τὰ καθ' ἡμᾶς τῇ προσοχῇ τοῦ μάρτυρος ἐγεγένηντο. Καὶ περιβόητος ἦν, τῇ τε τῶν θαυμάτων τερατουργίᾳ, τῇ τε τῶν λόγων ἰσχύϊ, καὶ πᾶν στόμα Ἀγαθονίκου τὸν αἶνον ἐλάλει. Διεπρίετο δὲ τὸ τῶν εἰδωλομανούντων συνέδριον, καὶ πολλάκις, ὥσπερ οἱ τὸν πρωτομάρτυρα, οὕτω κἀκεῖνον μανέντες ἐβουλεύοντο συναρπᾶσαι. Οὐκ ἐπ' ἀδείας δ' ἦν αὐτοῖς τὸ τόλμημα, δεδιόσι τό τε τοῦ μάρτυρος εὐγενές, καὶ τὴν τῶν πεπιστευκότων πολυπληθίαν.

ϛ΄. Ἐπεὶ δὲ τῆς δεισιδαιμονίας τὸ πῦρ ἀνεῤῥιπίζετο θεσπίσμασι τυραννικοῖς τυφόμενον, καὶ πᾶσαν κατεβόσκετο τὴν ὑφήλιον, οἵ τε τῆς πλάνης ὑπουργοὶ καθάπερ τινὲς λοχῶντες θηραταὶ τοὺς τῆς εὐσεβείας θεραπευτὰς ἀνερευνῶντες συνελάμβανον, μεγίστην ἀπόδειξιν τῆς πρὸς τοὺς κρατοῦντας εὐνοίας τὴν ἑαυτῶν θηριωδίαν πρὸς τοὺς θεοσεβοῦντας ἐπιδεικνύμενοι, πρῶτα μὲν Ζωτικός τις, οὕτω καλούμενος, ἀνὴρ ἐπ' εὐσεβείᾳ γνώριμος, καὶ τὴν φήμην ἔχων τοῖς ἔργοις προστρέχουσαν, τήν τε κλῆσιν τοῖς πράγμασι φέρων κατάλληλον, ζωῆς τοῖς πολλοῖς καταστὰς ἀκηράτου πρόξενος, καὶ τῇ τῶν τεραστίων ἐπιδείξει ἀνὰ στόμα πάντων ᾀδόμενος, ὑπ' αὐτῶν ἀγρεύεται· καὶ μέγιστόν τι λάφυρον Εὐτολμίῳ, δεινῷ μὲν αἱμυλίοις ἐπελθεῖν καὶ λογισμὸν χαυνῶσαι καὶ τὸ στερέμνιον, χαλεπῷ δὲ τοὺς ἀντιτείνοντας ἑλεῖν πρὸς τὰ κελευόμενα (ἦν γὰρ πικρὸς εἰς ὀργὴν καὶ ἀπαραίτητος), προσάγεται. Ὃς ἰδὼν πολιὰν μὲν αἰδέσιμον, πολιώτερον δὲ φρόνημα καὶ λόγοις πολιοῖς ἀντεκκρουόμενον τὴν τῆς εὐσεβείας ἐξωμοσίαν, τῶν ἐλπίδων παρακρουσθείς, τὴν οἰκείαν ἀποκαλύψας δυσμένειαν, τῇ τοῦ ξίφους τομῇ τῆς ἐνθένδε βιοτῆς ἀπελαύνει τὸν ἀθλητήν. Καὶ οὕτως ὁ μέγιστος Ζωτικὸς διανύσας τὸν ἀγῶνα τὸν καλόν, ἐξ ἀνθρώπων ἐγένετο, καὶ πρὸς οὐρανίους χώρους θερμῷ καὶ ἀτμί-

www.tezaurliturgic.ro



ζοντι αἵματι μετεβιβάζετο, ἄξια τὰ βραβεῖα παρὰ τοῦ ἀγωνοθέτου δρεψάμενος.

Ζ΄. Δεύτερον δὲ οἱ τῆς ἀσεβείας ὑπουργοὶ Ἀγαθόνικον Εὐτολμίῳ προσάγουσιν. Ἐπεὶ γὰρ ἡ φήμη πανταχοῦ διέτρεχε τῆς τε διδαχῆς αὐτοῦ καὶ τῶν θαυμασίων, καὶ τοὺς τῆς ἀσεβείας ὑπασπιστὰς μανία κατεῖχεν ὑπερόριος, ἀνάρπαστον αὐτὸν ἰδεῖν ἐκ μέσου γλιχομένους, οὐκ ἦν λοιπὸν ὅπως καλυφθείη τὰ κατ' αὐτῶν. Ὁ δὲ προγυμνασάμενος τῆς τοῦ προαθλήσαντος αἵμασι, καὶ καθάπερ κύων διψητικώτερος πρὸς τὴν τῶν ἀθώων ἔκχυσιν [αἱμάτων] γενόμενος, ἐλύττα λοιπὸν τὴν κατὰ τοῦ μάρτυρος ἀναίρεσιν. Ἀλλ' ἐπεὶ τὸ τῆς ὥρας αὐτοῦ θαυμάσιον τὸν θυμὸν ἐπέκλα τοῦ τυράννου (οἶδεν γὰρ κάλλους ὑπερβολὴ πρὸς τὸ ἡμερώτερον μεταποιεῖν ἐπιφανεῖσα καὶ τὸν ἀγριώτατον), συνίησι μὲν αὐτὸν τῆς εὐγενείας· ἐκ γὰρ τοῦ πολλοῦ κάλλους καὶ τῆς μεγαλοπρεπείας ἐπ' ἀγχιστείαν βασίλειον ἀναφέρειν, ὥσπερ ἦν, τοῦτον κατεστοχάζετο. Ἀπεπειρᾶτο δ' οὖν ὅμως τοῦ φρονήματος. Καί· τίς ὤν, ὦ οὗτος, τί δὲ καὶ βουλόμενος τὴν ἐναντίαν τῶν κρατούντων εἵλου βαδίζειν, αὐτόνομον σαυτὸν παραδεικνύων, καὶ διαχλευάζων τὴν ἡμετέραν θρησκείαν, διηρώτα, Θεὸν μὲν ἀσυνήθη καὶ ξένον καταγγέλλων, ὅλον δὲ δῆμον πρὸς τὴν τούτου προσκύνησιν μεταφερόμενος; Ὁ δὲ μάρτυς ἀτρεμεῖ τῷ φρονήματι μηδὲν ὑποπτήσσων τῶν δρωμένων, οὐ τὸ βλοσυρὸν τοῦ ἐτάζοντος, οὐ τὸ τῶν κολαστηρίων ἀπηνές, οὐ τὸ ἀπότομον τῶν παρεστώτων, πραείᾳ τῇ φωνῇ τοιαύτην ἐπῆγε τὴν ἀνταπόκρισιν. Ἐγὼ μὲν οὐκ ἀσήμου γένους ὑπάρχω τυγχάνων, ἴσασι πάντες οἱ παρόντες, καί μοι μαρτυρησάτωσαν τ' ἀληθῆ λέγοντι. Εἰς Ἱππάσιον γ' οὖν τὸν περιβόητον ὕπατον τὰ τοῦ γένους ἀναφέρεται· γενέτης Ἀσκληπιάδης ἔπαρχος ἀλλὰ καὶ αὐτὸς Καῖσαρ Μαξιμιανὸς τοῦ γένους ἐγγύτατος. Καὶ ὁ τύραννος· καὶ τίς σου τῶν τοιούτων καθηγητής, ὅς, τοὺς μὲν πατρῴους καταλιμπάνειν θεοὺς παραινεῖν, τῶν δὲ βασιλικῶν προστάξεων ἀλογεῖν; Παῦλος ὁ θεῖος, φησίν, Ἀγαθόνικος, καὶ Δαβίδ· ὁ μέν, πειθαρχεῖν δεῖ, λέγων, Θεῷ μᾶλλον ἢ ἀνθρώποις· ὁ δέ, πάντες, διδάσκων, οἱ Θεοὶ τῶν ἐθνῶν δαιμόνια, ὁ δὲ Κύριος τοὺς οὐρανοὺς ἐποίησεν. Ὁ δὲ δικάζων· σοφίας τρόφιμον ὄντα σε φησίν, οὐ δεῖ περὶ τοὺς τῆς σοφίας αἰτίους ἀγνωμεῖν Θεούς. Καὶ ὁ μάρτυς ἀπεκρίνατο. Ἣν σὺ λέγεις σοφίαν, ὡς ἅλμην ἀπεπτυσάμην· τῆς δὲ τοῦ Κυρίου μου, ὅς ἐστι τοῦ Θεοῦ καὶ Πατρὸς σοφία καὶ δύναμις, ἔμπλεως γέγονα.

Η΄. Ταῖς γ' οὖν τοιαύταις δυσχεραίνων ὁ ἄνους ἐκεῖνος ἀντιλογίαις, τὸ μὲν θωπεῦσαι, τὸ δὲ καὶ πτοῆσαι διενοήθη τὸν μάρτυρα, καί φησι· τῆς μὲν τῶν προγόνων εὐγενείας τε καὶ λαμπρότητος, ὦ Ἀγαθόνικε, οἰκεῖόν τε ἥ τε περιφάνεια καὶ ἡ ἄλλη τῆς καλλονῆς μαρτυρεῖ κατάστασις. Βασιλικῆς γάρ σε μανθάνω μὲν βλαστὸν γενεᾶς, καὶ τῶν ἄλλως τὰ πρῶτα τῶν ἀξιωμάτων διιθυνάντων· καὶ γὰρ ἄξιον ὄντως τῆς ἐκείνων κοσμιότητος τὸ κατά σε λαμπρόν τε καὶ λίαν περίδοξον, ἐπειδὴ κόσμοι αὐτῆς καθέστηκας, ἢ ἐκεῖνοι σὸς ἐχρημάτισαν. Ἀλλά γε τοιούτοις πεφυκὼς ἐκ τοιούτων, καὶ τοὺς τρό-

www.tezaurliturgic.ro



πους καὶ τὴν λατρείαν ὅμοιος καθεστᾶναι ὀφείλεις, καὶ μὴ τοῖς φημιζομένοις σοι συγκαταλέγεσθαι ψόγοις· οὐδὲ γὰρ ἐνδέχεται ἄνδρα φρονήσει καὶ ταῖς ἄλλαις ἀρεταῖς κεκοσμημένον, θεῶν πατρῴων ἀποῤῥαγέντα, ἄλλῳ θεῷ προσρυῆναι, καὶ τῶν μὲν βασιλικῶν ἀλογεῖν προσταγμάτων, καὶ τῶν παρ' αὐτοῖς ἀγαθῶν στερεῖσθαι, τὸν δὲ τῶν κακούργων ἑλέσθαι θάνατον. Σκόπησον τοίνυν ὅσον τὸ τῶν ἀμφοτέρων διάφορον, καὶ μὴ πολὺ λογεῖν θέλε. ἀλλ' ἢ τῷ αὐτοκράτορι πείσθητι, καὶ λάτρις τῶν ἐκείνου καὶ σῶν πατρῴων γενοῦ θεῶν, καὶ τῆς ἐν αὐτοῖς εὐημερίας ἀπόλαυε· ἢ τἀναντία φρονήσας, ἐναντία πάντως καὶ πείσῃ.

Θ΄. Ταῦτα μὲν ὁ Εὐτόλμιος. Ὁ δὲ θεῖος Ἀγαθόνικος, σεμνὸν ὑπομειδιάσας (οἶδεν γὰρ ψυχὴ καθαρὰ καὶ νοῦς διαυγὴς τοῖς λήροις ἐπιγελᾶν), τί, φησίν, ὦ Εὐτόλμιε, ἐπιχειρεῖς ἀνεπιχείρητα; Τί κομπάζων εὐλόγοις, ματαίως τὴν γλῶσσαν κινεῖς, καὶ σύμβουλος οὐκ ἀγαθῶν, ἀλλὰ πρόξενος ἀπωλείας γίνῃ; Οὐδὲ γὰρ ἃ λέγεις διευκρινεῖν οἶδας. Πῶς γάρ με γενεᾶς τῆς προκρίτου φῦντα (εἰμὶ γάρ), φρονήσει τε καὶ ταῖς ἄλλαις ἀρεταῖς κομῶντα, κρειττόνων μὲν ἀλογῆσαι, τοῖς δὲ χείροσι παραινεῖς προσγενέσθαι· καὶ Θεοῦ μὲν ζῶντος ἀποστῆναι τοῦ τῶν ὅλων δημιουργοῦ, ἀλλὰ καὶ τῶν ἀθανάτων ἐκείνου καὶ ἀϊδίων γερῶν, εἰδώλων δὲ κωφῶν, ἀλάλων καὶ ἀψύχων χρηματίσαι λάτριν, ἃ καὶ τὸ σέβειν αἰσχύνη, καὶ τὸ προσκυνεῖν γέλως, ἀλλὰ καὶ τὸ θεοὺς ὀνομάζειν, οὐ μόνον ψυχικὸς θάνατος καὶ ἀπώλεια, ἀλλὰ καὶ ἡ κόλασις ἀτελεύτητοι; Ὧν καὶ Δαβὶδ καταπαίζων, τὰ εἴδωλα τῶν ἐθνῶν, ἔλεγεν, ἀργύριον καὶ χρυσίον, ἔργα χειρῶν ἀνθρώπων, ὅμοιοι αὐτῶν γένοιντο οἱ ποιοῦντες αὐτά, καὶ πάντες οἱ πεποιθότες ἐπ' αὐτοῖς. Βούλει οὖν με τοῖς ἀναισθήτοις ἐξομοιοῦσθαι καθ' ὑμᾶς τοὺς τούτοις λατρεύοντας· ἀλλ' οὐκ ἔσομαι οὕτως ἄφρων, ὥστε τῶν μὲν ἐν ἐπαγγελίαις ἀγαθῶν ἀμελῆσαι, τῶν δὲ μικράν μοι περιποιούντων τὴν ἡδονὴν καὶ πρόσκαιρον περιέξεσθαι. Ἀπογνοὺς οὖν τοῦ διὰ λόγων πείθειν ὁ τύραννος εἴργων ἔχετο· καὶ τὸν μάρτυρα μάστιξιν αἰκισάμενος, πρὸς Μαξιμιανὸν μετὰ καὶ τῶν συνάθλων ἄγεσθαι ἐψηφίσατο. Οὐ γὰρ ἐπ' ἐξουσίας ἦν αὐτῷ τὴν ἐπὶ θάνατον ἄγειν, τῷ τῆς εὐγενείας ὑπερόγκῳ κωλυομένῳ.

Ι΄. Τοὺς γὰρ ἄλλους, ὅσοι τὸ εὐτελὲς κατὰ τὸ σαρκικὸν ἐπεγράφοντο γένος, κεφαλικῇ τιμωρίᾳ ἐξέδοτο, οὓς ἀγεληδὸν οἱ δορυφόροι προάγοντες ἀφειδῶς κατετέμνοντο. Ὑπεστήριζε δὲ πάντας ὁ καρτερόψυχος Ἀγαθόνικος, καὶ πρὸς τὸν ἆθλον ἀπιόντας ἐπήλειφε, μὴ προδῶτε, φάσκων, ὦ σύναθλοι, τὴν ἑαυτῶν σωτηρίαν, μὴ δῶτε νῶτα τῷ διαβόλῳ, μὴ τῶν ἀϊδίων ἐκείνων καὶ ἀφθάρτων ἀποστερηθείητε στεφάνων, ἀλλὰ μιᾶς ἡμέρας προσκαίροις πόνοις, τὸν ἀπέραντον αἰῶνα κληρώσασθε. Παρῄνει δὲ καὶ τοὺς ἄλλους, καὶ πλείστους μετέβαλλε, καὶ μάρτυρας ἀπετέλει, ὥστε τοὺς τῆς πόλεως προὔχοντας, καὶ μάλιστα τοὺς τῶν εἰδώλων ἱεροτελεστάς, ἐπισπεύδειν τὸν τύραννον, τάχιον τὸν Ἀγαθόνικον ὑπεξελθεῖν, πρὸ τοῦ τὴν πόλιν μεταβαλεῖν.

www.tezaurliturgic.ro



Ἐπείγεται τοίνυν ἐν τούτοις, συνεπαγόμενος τόν τε Ἀγαθόνικον καὶ τοὺς λοιποὺς συνδεσμώτας. Καὶ ἦν ἰδεῖν θέαμα ξένον· πᾶσα γὰρ ἡ πόλις, οἵ τε χριστωνυμίᾳ ἐν κρυπτῷ σεμνυνόμενοι, οἵ τε τῇ πλάνῃ ἀναφανδὸν συνείποντο, οἱ μὲν τὴν τοῦ μάρτυρος Ἀγαθονίκου ἀποκλαιόμενοι στέρησιν, οἱ δὲ τὴν καρτερίαν, ἀλλὰ καὶ τὴν τῆς καλλονῆς εὐφυΐαν ἴδεσθαι γλιχόμενοι· καὶ οὐ μόνον ὅσον τὸ ἐν ἀνδράσιν, ἀλλὰ καὶ γυναίων πλῆθος, καὶ παιδαρίων συνέθεον. Ὁ δὲ ἅγιος, ὡς ἐπί τινι παρεμβολῇ νίκης ἐλπίσιν ἐρχόμενος, κεχαρισμένως ἐβάδιζε, συνασπιστὰς τὸν τῶν ἀθλητῶν ὅμιλον ἐπαγόμενος, καὶ τὰ Δαυϊδικὰ συνᾴδων ὑμνολογήματα.

ΙΑ΄. Ὁ γ' οὖν ὠμὸς καὶ ἀπάνθρωπος Εὐτόλμιος τινὰς τῶν ἁγίων ὀκλάσαντας τῇ ὁδοιπορίᾳ, οὐ μόνον οὐκ ᾤκτειρεν, ἀλλὰ καὶ δεινὰ προσετίθει, ὀῤῥωδεῖν ἐν τούτοις τούς τ' ἐγχωρίους, τούς τε περὶ Ζήνωνα μηχανώμενος. Καταπέλταις τοιγαροῦν τούτους ἀνῄρει, τὸν μαρτυρικὸν ἀγῶνα τελοῦντας. Ἐν δὲ τῇ Χαλκηδόνι φθάσας, Σεβηριανὸν ἐν εἱρκτῇ τὸν μάρτυρα εὗρε, πολλοῖς μὲν ἐγκεκλεισμένον χρόνοις, πλείστους δὲ καὶ ποικίλους ἀγῶνας ἐν βαθεῖ διηνυκότα τῷ γήρᾳ, καὶ πλείους τῇ θείᾳ διδασκαλίᾳ Χριστῷ προσάξαντα· ξίφει δὲ ὅμως (ὁδοῦ πάρεργον) αὐτοῦ κάραν ἀπέτεμε, θεόθεν στεφανωθεῖσαν. Ἀγαθονίκῳ δὲ τῷ θαυμαστῷ, ἵνα καὶ Βυζαντὶς τῶν καλῶν αὐτοῦ παραπολαύσειε, καὶ ταῖς τῶν αἱμάτων ῥοαῖς δαιμονικὸν ἄγος ἀποῤῥίψηται, ἐν ταὐτῇ πάλη δευτέρα προτίθεται. Καὶ ἦν ἀγὼν ἀμφήριστος, τοῦ μὲν ἐτάζοντος ὅπως κρατήσῃ ταῖς αἰκίαις, καὶ μὴ τὸ πᾶν ἡττῆσθαι δοκῇ φιλονεικοῦντος, τοῦ δὲ μάρτυρος, ὅπως τῇ καρτερίᾳ τὴν εὐψυχίαν ἐνδείξηται καὶ τῆς μαρτυρικῆς ἀναρρήσεως τὴν ἐπίτευξιν κομίσοιτο, τοῦτο μόνον δεδιότος, μὴ μαλακώτερον καὶ βάσανοι προσβαλοῦσαι οὐκ ἄξιον τοῦ πόθου τὸ γέρας συνεισενέγκωσι· καὶ τοῦ μέν, ὅπως, εἰ καθαιρήσοι τοῦ φρονήματος, εἰς εὐγνωμοσύνης ἔνδειξιν, δῶρον μέγιστον προσάξῃ βασιλεῖ, τοῦ δέ, ὅπως ἀκαθαίρετος ὀφθεὶς τῷ οἰκείῳ προσάξῃ δῶρον ἑαυτὸν βασιλεῖ.

ΙΒ΄. Σάρκες ἐτέμνοντο ξίφεσιν, ἶνες διελύοντο, νεῦρα διεσπῶντο, τοῦ αἵματος οἱ ῥύακες κρουνηδὸν ἐφέροντο, σπλάγχνα κατεχορδεύετο, ἡ τῆς φύσεως οἰκονομία ἐθεατρίζετο· οἱ δήμιοι ἀνένδοτοι καὶ σκληροί, αἱ ἀλγηδόνες ὑπερόριοι. Τῷ δὲ ἦν ἀνεπίκλαστος ἡ γνώμη, καὶ οὐδὲν ἐδείκνυ νήπιον, οὐδὲ ἁπαλὸν ἐν τῇ φύσει· τῶν θεωμένων κατάπληξις, ἀγγέλων κρότος ἐπινίκιος, τῶν δαιμόνων ὀλολυγμός, μέχρις οἱ βασανίζοντες ἀπειπάμενοι πρὸς τὸ ἀκατάπληκτον τοῦ ἀθλητοῦ τὴν νικῶσαν ψῆφον καὶ ἄκοντες τούτῳ προσένεμον. Ἔπειτα Μαξιμιανῷ Καίσαρι παρίσταται, κατὰ Σηλυβρίαν διατρίβοντι τότε· ὃς ἰδὼν αὐτὸν καὶ ἐπιγνούς, ἀνὴρ ὅλος δαίμοσι κάτοχος καὶ ταῖς αὐτῶν θεραπείαις ἐκτόπως μεμηνώς, δέον κατοικτειρῆσαι τῆς νεότητος καταπλαγῆναι τοῦ κάλλους, θαυμάσαι τῆς ἀνδρείας, δυσωπηθῆναι τὴν συγγένειαν, τὴν τῶν εἰδώλων θεραπείαν προκρίνας, εἰς λόγους δυσσεβείας προυκαλεῖτο τὸν ἀθλητήν· ὡς δὲ τοῦτον ἀπισχυριζόμενον κατέμαθε, τῆς κάρας

www.tezaurliturgic.ro



ἐκτομὴν αὐτοῦ καταψηφίζεται, τοῦτο μόνον αὐτῷ χαρισάμενος, τὸ μὴ τῆς ἐμφύτου ὠμότητος ἐπὶ πολὺ παρατεῖναι τὴν δεινότητα. Ἀπολυθεὶς τοίνυν ὁ μάρτυς τῆς προσκαίρου βιοτῆς, πρὸς ἀκηράτους σκηνὰς μετεβιβάζετο, χορείαις ἀγγελικαῖς παραπεμπόμενος, ὁ καλλίνικος τῆς εὐσεβείας ἀθλητής, ὁ διαυγέστατος τῆς οἰκουμένης φωστήρ, ὁ τῆς εἰδώλων ἀσθενείας στηλιτευτής, καὶ τῆς Χριστοῦ δυναστείας ὑφηγητής, ὁ τὸν πολυμήχανον ἐχθρὸν ἐν τῇ οἰκείᾳ στεῤῥότητι καταβαλών, καὶ τοὺς ὑπ' αὐτοῦ κατεχομένους, τῷ σωτῆρι προσαγαγών, ὁ τῷ φίλτρῳ τοῦ Δεσπότου συναυξηθείς, καὶ κατάλληλον τοῦ πόθου τὸ τέλος ἐφευρών, ὁ φύσιν νεάζουσαν τῇ πίστει νευρώσας, καὶ συναμιλλᾶσθαι ταύτην τῇ γνώμῃ παρασκευάσας.

ΙΓ'. Τίς οὖν τούτῳ τῶν πάλαι καὶ πρὸ τῆς χάριτος, ἰσόῤῥοπον τὴν ἀρετὴν ἔχων ἀναδειχθήσεται; Τίνος γὰρ οὐ κρατεῖ; Τίνος δὲ καὶ τῶν τῆς χάριτος τὰ δευτερεῖα ἀποίσεται; Μέγιστος Ἀβραάμ, ἐπιγνώμων ἀληθείας γενόμενος, αὐτόματος καὶ πατρικὴν ἀθεΐαν βδελυξάμενος, ἀλλ' ἐν παρήκμῳ καὶ βεβηκυίᾳ γενόμενος ἡλικίᾳ, τῆς γνώσεως λαμβάνει τὴν εὕρεσιν, τὴν νεότητα παρελάσας ἐν ταῖς τῶν εἰδώλων θεραπείαις· ὁ μάρτυς δὲ τὴν πατρικὴν ἀπώσατο δυσσέβειαν, ἔτι περιφέρων τὴν γλῶσσαν ψαλλίζουσαν, καὶ τῆς πρώτης ἡλικίας οὐκ ἀποτιναξάμενος τὰ ἐπίσημα. Ἰσαὰκ τύπος Χριστοῦ γενόμενος, εἰς θυσίαν ἄγεται, ἀλλ' ὑπὸ πατρός, ἀλλ' οὐκ ἀπαρτισθέντος τοῦ ἐγχειρήματος· οὗτος δέ, τὸν τελειωτὴν τοῦ τύπου ποθήσας ἐκπαιδόθεν, ἑαυτὸν αὐθαίρετον θυσίαν διὰ πίστεως προσέφερε· πρότερον μέν, καθ' ἑκάστην τῇ σεμνοτάτῃ θυόμενος πολιτείᾳ, ὕστερον δὲ καὶ διὰ τοῦ αἵματος μαρτυρικῶς καθιερωθείς. Ἰακὼβ μητρικὰς ὑποθήκας δεξάμενος, πατρικὴν εὐλογίαν, μᾶλλον δὲ θεϊκήν, ἐπεκτήσατο· οὑτωσὶ δὲ καὶ οὗτος τῆς μητρῴας λατρείας ὀπαδὸς γενόμενος, καὶ τῆς ἐν αὐτῇ λίαν ἀληθοῦς ἀδιαδόχου κοινωνὸς γέγονε δόξης. Ἰωσὴφ κάλλει μὲν ἐκεκόσμητο, καὶ τὸ κάλλος εἶχε κεκραμένον σωφροσύνῃ, ὁ δὲ κατ' οὐδὲν τῷ κάλλει λειπόμενος, διὰ βίου τὴν παρθενίαν ἔφερε σύνοικον· καὶ τῷ μὲν τῆς ἐνεγκαμένης ἡ ξένωσις συνήργει πως πρὸς ἀρετὴν (τῆς γὰρ θλίψεως τὸ ἐπίπονον ἀπωθεῖτο πᾶσαν τερπνότητα), ὁ δὲ ἐν τῇ οἰκίᾳ πολλοῖς τοῖς πρὸς ῥαστώνην, καθέλκουσιν ἐναπειλημμένος, γενναίῳ λογισμῷ ταῦτα διεκρύψατο· καὶ ὁ μὲν τῆς εὐσεβείας παρὰ πατρὸς δεξάμενος τὰ σπέρματα, ἀκόλουθον ἐβλάστανε καὶ τὸν καρπόν, ὁ δὲ τὴν δυσσέβειαν μὴ προσηκάμενος τὴν πατρικήν, καθάπερ ῥόδον εὐθαλές, τὴν εὐωδίαν ἐξήνθησε τὴν μυστικήν. Δαβὶδ πυῤῥάκης μετὰ κάλλους ὀφθαλμῶν καὶ ἀγαθὸς ὁράσει γέγραπται, ὁ δὲ πάσῃ μὲ εὐπρεπείᾳ καὶ ὡραιότητι κατακεκόσμητο σωματικῇ, ἀγαθὸς δὲ οὐ μόνον ὑπῆρξε τῷ βλεπομένῳ καὶ νοουμένῳ, ἀλλ' ἐκ περιουσίας καὶ τὴν ἐπωνυμίαν ἐκληρώσατο· εἰ δὲ πρός τινα θεωρίαν ὑψηλοτέραν ἀποβλέπει τὰ τοῦ Δαβίδ, οὐκ ἂν ἀπᾴδουσαν εὑρήσοιμεν ταύτην προσαρμόζοντες τῷ μάρτυρι.

ΙΔ'. Ὁρᾷς Πέτρον ὑψοῦ δημηγοροῦντα καὶ λαὸν ἐμπερίτομον τῇ χά-

www.tezaurliturgic.ro



ριτι προσάγοντα; Ὅρα καὶ τὸν ἀθλητὴν δημηγοροῦντα, καὶ λαὸν τῇ πλάνῃ τῆς εἰδωλομανίας προσκείμενον, πρὸς θεογνωσίαν μεταφέροντα. Παύλου τοῦ μεγαλοκήρυκος πολλῷ τῷ μεσῷ συνεργὸς ἀναδέδεικται. Τὸν αὐτὸν ζῆλον ἐπανήρηται, ὁμοίως καὶ αὐτὸς ἐπυροῦτο τὰ σπλάγχνα ὑπὲρ τῶν οἰκείων, ὑπὲρ τῶν ἀλλοτρίων, ὑπὲρ τῶν πεπιστευκότων, ὑπὲρ τῶν ἐνισταμένων, τῶν μέν, ὅπως ἐπιμείνωσι τῇ ἀληθείᾳ, τῶν δέ, ὅπως ἐπαρθείη τὸ κάλυμμα τῆς ἀγνωσίας τῶν τῆς ψυχῆς ὀφθαλμῶν, καὶ πρὸς τὸ φῶς διαβλέψωσι τῆς ἐπιγνώσεως. Συγγραφεὺς μὲν εὐαγγελίων οὐκ ἐγένετο, τῶν δὲ συγγραφέντων κήρυξ μεγαλοφωνότατος, θαυμασίων ἐνέπλησε τὴν περίχωρον· τέλος, κοινωνὸς τῶν δεσποτικῶν παθῶν ἐχρημάτισε, τὸ τοῦ σωτηρίου ποτήριον πιών, τῆς υἱοθεσίας οὐκ ἐψεύσθη, τῆς ἀναῤῥήσεως ἐπέτυχε, τῆς θεώσεως κατηξίωται νῦν μετὰ ἀγγέλων συγχορεύων, τῆς μακαρίας Τριάδος καθορᾷ τὴν ἔλλαμψιν, νῦν μετὰ τῶν συνάθλων αὐλιζόμενος, τὸν ἐπινίκιον ὕμνον προσφέρει τῷ κτίσαντι, νῦν ἀμέσως προσπελάζων τῷ θρόνῳ τῷ δεσποτικῷ τὰς ὑπὲρ τοῦ κόσμου προσάγει ἱκεσίας.

ΙΕ'. Τούτῳ προσέλθωμεν ἅπαντες μετὰ πίστεως, εὐφημοῦντες, γεραίροντες, μεγαλύνοντες ᾄσμασιν, ὡς ἄνθεσι καταστέφοντες ἐγκωμίοις δεξιούμενοι· οἱ θυμήρεις, οἱ τεθλιμμένοι, οἱ μέν, τὴν θυμηδίαν διαρκεῖν ἐξαιτούμενοι, οἱ δέ, τὴν τῶν λυπούντων μεταβολὴν ἱκετεύοντες· οἱ πλουτοῦντες, οἱ πενόμενοι, οἱ νοσοῦντες, οἱ ἐνεκτοῦντες· οἱ μέν, τὴν ῥῶσιν φυλάττεσθαι βουλόμενοι, οἱ δέ, τὸν ὄγκον ἀποθέσθαι τῶν νοσημάτων προθυμούμενοι· οἱ νέοι, οἱ γέροντες, πᾶσα ἡλικία, καὶ πᾶν γένος ἀνθρώπων. Χαίρει γὰρ ἡμῶν τὸ πρόθυμον ὁρῶν ἀήττητος· καὶ πρὸ τούτου, πολλῷ πλέον εὐφραίνεται καὶ χαίρει ὁ θεός, ὁ τοῦτον τιμήσας καὶ δοξάσας, τὴν πρὸς τὸν ἀθλητὴν εὐφημίαν, οἰκείαν λογιζόμενος εὐφημίαν, τὸν πρὸς αὐτὸν ἔπαινον, οἰκεῖον ἔπαινον. Εἰ γὰρ ὁ βασιλέως οἰκέτην θεραπεύων, αὐτὸν πιστεύει θεραπεύειν τὸν βασιλέα, κἀκεῖνος δὲ τὴν πρὸς τὸν ἱκέτην θεραπείαν ὡς ἰδίαν ἀναδέχεται οὐ πολλῷ μᾶλλον ὁ φύσει ἀγαθά, τὸν δι' αὐτὴν κενωσάντων τὸ ἴδιον αἷμα, τὴν δόξαν ὡς οἰκείαν ἡγήσεται; Πάνυ μὲν οὖν. Πλήν, ποίαν ἂν δόξαν εἰσενέγκοιμεν ἀξίαν τῆς μαρτυρικῆς μεγαλειότητος, ἀντεισηκοῦσαν τῇ δόξῃ τῇ παρὰ τοῦ Θεοῦ τούτοις παρασχεθείσῃ; Δαίμονας ἀπελαύνειν δίδωσι, νόσους ἀποδιώκειν, παθημάτων λυτροῦσθαι τοὺς πρόσφυγας, λύειν ἁμαρτήματα, θραύειν πολέμους, εἴτε τοὺς αἰσθητοὺς τούτους καὶ ὁρωμένους, εἴτε τοὺς νοητοὺς καὶ μὴ βλεπομένους, νεκροὺς ἀνιστᾶν, θυμηδίαν χαρίζεσθαι, κινδύνων ἀπολυτροῦσθαι, πάντα ὅσα τῆς θείας δυνάμεως, ἐπιφοιτᾶν, ἐπισκιάζειν ἐν ὁράσεσιν, ἐν ὄψεσιν, ἐν οἴκοις, ἐν ἀγοραῖς, ἐν ἐκκλησίαις.

ΙϚ'. Ἀπέστωσαν γὰρ ἡμῖν οἱ λογισμοῖς ἀλόγοις τῶν ὀπτασιῶν ἀποστεροῦντες τοὺς ἁγίους, καὶ τοῖς ἀγγέλοις μόνοις ταύτας ἀναγράφοντες. Εἰ γὰρ ἔτι μετὰ σώματος ὄντας, μεταρσίους αὐτῶν τινας ὁ Θεὸς πεποίηκεν, οὐχ ἑτέρους ἀλλ' αὐτοὺς παραστήσας τῆς ἐπικουρίας δεομένοις· οὐ πολλῷ μᾶλ-

www.tezaurliturgic.ro



λον τοῦ γεώδους σκήνους καὶ βρίθοντος διαζευχθέντος αὐτούς, ἐπὶ σωτηρίᾳ τῶν αἰτούντων ἀποστείλειεν. Εἰ τὰ τούτων λείψανα γυμνὰ καὶ πάσης ζωτικῆς ἰκμάδος δεικνύμενα, καθάπερ ἐκ πηγῆς τινος ἀενάου τὰ νάματα βρύουσιν, οὐκ ἔστι λογίσασθαι τὰς αὐτῶν ἐπιστασίας ὑπερφυῶς οὕτω καὶ θεοπρεπῶς ἀποτελουμένας; Εἰ γὰρ καὶ δίχα τοῦ οἰκείου σώματός εἰσιν, ἀπαμφιασθέντες τούτῳ τῷ θανάτῳ, ἀλλὰ μετ' ἀγγέλων τῷ κτίστῃ παριστάμενοι, ἀγγελικὰς λειτουργίας ἀποτελεῖν οὐκ ἀμφιβάλλονται. Ἀλλὰ πῶς ἐν ταὐτῷ, φασι, καὶ ἐν ἀκαρεῖ τῷ καιρῷ πανταχοῦ παρεῖναι, καὶ ἐνεργεῖν ἅμα δύνανται, ὅπερ μόνον ἰδιαίτατον τῆς θείας οὐσίας; Τοῦτο μὲν οὐκ ἂν δείξειέ τις, οἶμαι γινόμενον· εἰ δὲ καὶ δειχθήσεται, οὐκ ἀναιρετικὸν πέφυκε τῆς τῶν ἁγίων παρουσίας, συνεργίᾳ δὲ μᾶλλον τῆς τοῦ Θεοῦ δυνάμεως, πρὸς πλείονα δόξαν τῶν θεραπόντων· ἐπεὶ γὰρ σὺν Θεῷ βασιλεύουσι, καὶ τῆς δόξης ἐκείνης κατατρυφῶσι τῆς ἀνεκφράστου καὶ μακαρίας, τοῦτο γέρας λαβόντες, καὶ πρὸ τῆς κοινῆς ἀναστάσεως πάσης ἀκολούθως τιμῆς ἠξίωνται παρὰ τοῦ εὐεργέτου καὶ μεγαλοδώρου. Ὅθεν ὀφειλομένην ἔχομεν καὶ ἡμεῖς τὴν πρὸς τοὺς ἀθλητὰς τιμήν τε καὶ δόξαν, οὐ τόσον προσφέροντες, ὅσον κομιζόμενοι, μηδὲν οἰκεῖον συνεισάγοντες, ἀλλ' ἢ μόνην τὴν εὐγνωμοσύνην, ἣν καὶ πλουσίαν ἐπιδειξώμεθα, ἵνα καὶ πλουσίαν ληψώμεθα τὴν ἀνταμοιβήν, ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν, ᾧ ἡ δόξα καὶ τὸ κράτος εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

www.tezaurliturgic.ro

www.tezaurliturgic.ro

ΦΙΛΟΘΕΟΥ ΑΡΧΙΕΠΙΣΚΟΠΟΥ ΣΗΛΥΒΡΙΑΣ

# ΕΓΚΩΜΙΟΝ
## ΕΙΣ ΤΟΝ ΑΓΙΟΝ ΑΓΑΘΟΝΙΚΟΝ

Τῶν πάλαι σοφῶν καὶ ῥητόρων τῆς Ἐκκλησίας καὶ ἄκρων ἐν λόγοις μηδενός πω ἑαυτὸν οὐδ' ὁπωστιοῦν ἐκδεδωκότος διεξοδικώτερον ἐς λόγους καὶ ἀγωνίσματα τοῦ στεφανίτου μάρτυρος Ἀγαθονίκου, φιλοτίμως ὁμοῦ καὶ μεγαλοπρεπῶς, ἀλλὰ σιγῇ παραδραμόντων τὰ μνήμης καὶ θαύματος ἄξια μέχρι τῆς δεῦρο, ἥκω τοῦ λέγειν αὐτός εἰ καὶ τὴν ἐμὴν περὶ λόγους ἰσχὺν οἶδα σαφῶς ἐγγὺς ἰοῦσαν· οὐδὲ μετρίας τῆς ἀξίας, ἀλλὰ πολλῷ τῷ μέτρῳ πόῤῥω που. Μηδεὶς δ' ὑμῶν προπέτειαν, ὦ παρόντες, καταγνῷ τοῦ παρόντος ἐγχειρήματος, εἰ καὶ ἐργώδης ὁ λόγος καὶ χαλεπὸς διενεγκεῖν. Ἐπεὶ οὖν οὐχ ἕνεκα φιλοτιμίας, οὐδέ γε πρὸς ἡδονήν, ἀλλὰ δι' ἀνάγκην καὶ παράκλησιν τῶν οἰκητόρων τῆς πόλεως ταυτησὶ τοῦ Σήλυος λέξων ἐλήλυθα· θαῤῥόντως τῇ ἐπικουρίᾳ τοῦδε τοῦ μάρτυρος, ἀκούσατε ἤδη. Εἰ μὲν οὖν περὶ ἄλλου του ὁ λόγος ἦν, ὑπὸ κατηγορίαν καὶ μέμψιν, ἴσως ἐτέλουν· ἐπεὶ δὲ ὑπὲρ γενναίων κατορθωμάτων, μᾶλλον δέον συνησθῆναί τε καὶ συνεύξασθαί μοι καὶ ὑμεῖς.

Ἤδη δέ μοι πρὸς αὐτὴν ἰόντι τὴν εὐφημίαν, πατρίδος οἶμαι δεῖν πρὸ τῶν ἄλλων μεμνῆσθαι, ὡς ἂν μὴ μόνος ἐγὼ τῶν ἄλλων ξένην καὶ ἀλλοτρίαν ὁδὸν βαδιοῦμαι, μηδὲ καινόν τινα τρόπον εἰσφέρειν δόξω. Ἐπεὶ δὲ δύο πόλεις αὐτὸν ᾠκειώσαντο, ἡ μὲν γεννήσασα καὶ ἀναθρεψαμένη, ἡ δὲ τὰ μαρτυρικὰ παλαίσματα καὶ τοὺς πεντάθλους στεφάνους στεφανώσασα, ἐν ᾗ καὶ ἡ θεία κάρα ἀπόκειται περιεῖσα καὶ πολλὰ τὰ ἰάματα ἐπιτελοῦσα, πρός τε βασιλεῖς φημι, καὶ ἄρχοντας καὶ πάντας ἁπλῶς τοὺς πίστει προσερχομένους· ἥ τε Νικομήδους καὶ ἡ τοῦ Σήλυος· πόλεις οὖν αὗται θαυμασταί, καὶ πολυανθρωπόταται· κατὰ τὸν τῆς ῥητορικῆς νόμον, πρῶτον διεξέλθωμεν ὅσα εἰκὸς κοινῇ τε καὶ ἰδίᾳ περὶ σφῶν αὐτῶν.

Κἂν ἀπ' ἀλλήλων διΐστανται, τόποις καὶ διαστήμασι πολλῷ τῷ μέτρῳ, τὸ μὲν οὖν καλάς τε καὶ μεγάλας εἶναι τὰς πόλεις πάντες ἂν οἶμαι συμφαῖεν. Τίς γὰρ οὐκ οἶδε τὴν Νικοδήμους, ὅπως φύσεως εὖ ἔχει καὶ θέσεως καὶ τειχέων ὑψηλῶν τε καὶ στεῤῥῶν, ὡς δοκεῖν, κατὰ τὸν μῦθον τῶν ποιητῶν τὸν περὶ τοῦ Θηβαίων τείχους, πρὸς λύραν καὶ κιθάραν ἐνηρμόσθαι τὸ ἐξαρχῆς· καὶ κεκοσμῆσθαι δὲ ναοῖς καὶ ἀγάλμασι· πρὸς δὲ καὶ στοαῖς καὶ θεάτροις, καὶ πᾶσιν οἷα ἄν τις εἰπεῖν ἔχοι τοιούτοις. Οὐδεὶς ἔξω στηλῶν

www.tezaurliturgic.ro



Ἡρακλέους, ὅστις ἐστὶν οἶμαι ἀνήκοος· οὕτω γὰρ εὐτυχεῖ περὶ τὰς ὥρας, καὶ τοὺς ἀέρας εὖ ἔχει, ὡς οὐδεμία τῶν ἄλλων κρείττων· τοσούτοις δὲ καὶ τηλικούτοις ἀγαθοῖς κομῶσα, καὶ τῶν μὲν ἀγαθῶν μετέχουσα πάντων, ὡς ἔπος εἰπεῖν· ἃ δὲ ταῖς ἄλλαις πρόσεστι δυσχερῆ πεφευγυῖα ἤδη ὥσπερ οὐκ αὐτῆς εἶναι νομίζουσα· τὸ καὶ οὐδ ὁτιοῦν τῶν καλλίστων ἐστερῆσθαι, οὐκ ἐν τούτοις τὴν εὐδαιμονίαν ὁρίζεται· ἀλλ' ἔστιν οἷς πεφιλοτίμηται μᾶλλον, τοῖς Ἀγαθονίκου καὶ τῶν ἄλλων μαρτύρων παλαίσμασί τε καὶ κατορθώμασι, καὶ τοῖς θείοις παιδεύμασι. Ταῦτα μὲν οὖν τὰ αὐτῆς καλλωπίσματα καὶ αὐχήματα· πρὸς τούτοις, ἐπλούτει καὶ ἄνδρας πρὸ τῶν ἄλλων πόλεων πλείστους ἀνδρικωτάτους ἅμα καὶ μαχιμωτάτους, κἂν ἐς ὕστερον ὑπὸ τῆς ἁμαρτίας ἑαλωκυῖα ὤφθη παρὰ τῶν βαρβάρων αὐτῶν. Τίς δὲ οὐκ οἶδεν αὖθις ἄν, τὴν δευτέραν αὐτοῦ ὡς ἂν εἴποι τις πατρίδα τὴν τοῦ Σήλυος; ὅπως καὶ αὐτὴ εὖ ἔχει φύσεώς τε καὶ θέσεως καὶ τειχέων καὶ πύργων, πρὸς δέ, ἐπινείων καὶ προαστείων, ὡς μόνη γε πασῶν, τὰς μὲν μεγέθει σεμνυνομένας καὶ κάλλει ἁμιλλωμένη· τὰς δ' ἄλλας ἐξισουμένη καὶ ὑπερφέρουσα, ἔν τισι πράγμασι, κατά γε τὴν τῶν πολλῶν δόξαν, ἥτις πρὸς τὸ πέλαγος καὶ τὸν ἥλιον ἀνίσχουσα. Τὸ γὰρ σχῆμα τοιοῦτον, ἐκ γῆς καὶ θαλάττης θεωροῦντες αὐτὴν ὡς ἄσυλον καὶ ἀσφαλῆ ἐπαινοῦσί τε καὶ θαυμάζουσι· καὶ φυλακτήριον καὶ σκέπην ὡσανεὶ ἰσχύουσι τὰ ἐγγύς που πέλματά τε καὶ φρούρια· πρὸς τούτοις πᾶσι, καὶ ὁπλοφόρους καὶ μαχίμους ἄνδρας, καλοὺς κἀγαθούς· τοιούτους καὶ τηλικούτους, ὡς ἐπὶ ἀσπίδας καὶ δόρυ ἐν πολέμοις καὶ μάχαις τεθνάναι, ἐὰν βαρβάρων μὴ περιγένωνται ἴσως, ὑπὸ πλήθους στρατιᾶς· μόνη γὰρ περὶ τυχῶν, ὡς ἔπος εἰπεῖν, ἢ κομιδὴ ἐν ὀλίγαις ἄνδρας δύναται τρέφειν ἀγαθούς, ὅπλα μεταχειρίζειν καὶ μόνα, διὰ τοὺς συνεχεῖς πολέμους, ὥσθ' ὅ, φησίν, Αἰσχύλος, Ἑρμῆς ταῦτα εὐλόγως συνήγαγεν· οὔτε τούτους ὅπλων ἀποστερεῖν οἷόν τε δεῖν· οὔτε τὸν Ἄρην ἔξω τιθέναι, τὸν πόλεμον δηλαδή. Ὅθεν εἰ ἔτυχον περιόντες Ὅμηρος καὶ Ἡσίοδος, μόνας τὰς δύο ταύτας, δικαίως εἶπον ἀνδρῶν ἔχειν φοράν, ἀγαθῶν μὲν κοσμῆσαι ἵππους καὶ ἀνέρας ἀσπιδιώτας, ἀγαθῶν δὲ τῆς τέχνης εὑρέσθαι τέρματα τάσδε σαφῆ· ὡς ἔστι γε τῶν ἀτοπωτάτων, εἰ κοσμεῖν ἐθέλοντες ταύτας τὰ πλείω καὶ κρείττω καὶ μείζω παρίημεν· ἅπερ εἰσὶ ταῦτα· ὥσπερ ἂν εἴ τις μέγεθος στρατιᾶς ἀγγεῖλαι βουλόμενος, οἷον τῆς Ἀχαιῶν ἐπὶ Τροίᾳ, ἢ τῆς Ξέρξου ἐπ' Ἀθηναίοις, εἶτα λέγει μυρίους ἢ δυσμυρίους ὁπλίτας ἰδεῖν, ἵππων δὲ τόσην καὶ τόσην, οὐδὲ πολλοστὸν μέρος τοῦ παντὸς λέγων ἐν οἷς θαυμάζει, καίτοι καὶ τὴν τῶν Ἀθηναίων πόλιν εὐδαίμονα τοῖς ποιηταῖς ἔδοξε προσειπεῖν, ὅτι ταῖς τῶν ἐνοικούντων ἀνδραγαθίαις ἐκοσμεῖτο, ἢ πού γε λαμπρῶς ταύτας τὰς προσηγορίας προσήκει· μόναι γὰρ τοῖς πολλοῖς δοκοῦσι τῶν πάντων καινόν τινα τρόπον ταύταις ταῖς ὄχθαις ὁρίζεσθαι· οὐ ξύλα καὶ λίθους καὶ τέχνην τεκτόνων καὶ τὸν τῶν ἀψύχων κόσμων· ἀλλ' ἄνδρας εἰδότας μὲν σῴζειν αὐτοὺς ἐν πολέμοις καὶ μάχαις· εἰδότας δὲ παράδειγμα καθε-

www.tezaurliturgic.ro



στάναι τοῖς ἄλλοις τῶν βελτίστων, ἐν τοῖς τοιούτοις καιροῖς καὶ πράγμασι.

Πρὸς δὲ τούτοις καὶ πρὸ πάντων, τηροῦσαι φαίνονται αὗται αἱ πόλεις καὶ θείων ἀνδρῶν κανόνας καὶ δόγματα· ἔτι δὲ βασιλέων εὐσεβῶν νόμους, καὶ σοφῶν ἀνδρῶν Λυκούργου καὶ Σόλωνος, καὶ παντὸς ἄλλου νομοθέτου παρ᾽ οἷς γεγόνασιν διάφορα, τά τε Ῥωμαϊκὰ καὶ ἐπαρχιακά· καὶ τὰ κάλλιστα τῶν προχείρων, ξυνάμα ταῖς βασιλικαῖς νεαραῖς πολιτείαν μὲν ἀξιόχρεων τῷ νόμῳ σχοῦσαι, ἀξιόχρεων σχεδὸν δὲ καὶ δικαστηρίων αὐτῶν σπουδάζουσαι ἔχειν ὅσον τὸ εἰς αὐτὰς ἧκον, τὸ δίκαιον πανταχῇ κἂν ὑπὸ τῆς εὐροίας παίζωνται, καὶ ἔξω τοῦ καιροῦ πίπτωσι καὶ μὴ βουλόμεναι. Πατὴρ μὲν τῷ γενναίῳ καὶ θαυμαστῷ Ἀγαθονίκῳ Ἀσκληπιάδης, ἔπαρχος τὴν ἀξίαν, υἱὸς Ἱππασίου τοῦ τηνικαῦτα δυναμένου ἐν βασιλεῦσι· μήτηρ δὲ Ἀγαθή, εὐγενής· ὁ μὲν γὰρ Ἕλλην ἦν τὴν θρησκείαν, ἡ δέ, εὐσεβὴς καὶ φιλόχριστος. Ἐκ τούτων οὖν προελθὼν τοῦ θείου βαπτίσματος καταξιοῦται· ἐπεὶ δὲ πέμπτος χρόνος ἀνύετο τούτῳ, γραμματιστῇ δίδοται, τὰ ἱερὰ γράμματα ἐκδιδάσκεσθαι· ὅθεν καὶ Ἑλληνικῆς παιδείας γευσάμενος καὶ ἀπολελαυκὼς ὥστε γράφειν καὶ ἀναγιγνώσκειν εὐφυῶς καὶ ἀπταίστως, τὰ πολεμικὰ ἐκπαιδεύεται ἀρίστ... Ἐπεὶ δ᾽ οὐχ εἷς πολλῶν εἶναι ἐδόκει, οὐδὲ τῆς ἐσχάτης μοίρας, ἀλλὰ τῆς βελτίστης καὶ πρώτης ἔν τε βουλαῖς καὶ πολιτείαις, ἔν τε πράξεσι καὶ νοήμασι καὶ στρατηγικαῖς ἐμπειρίαις· καὶ πολὺς ἦν ἐν συλλόγοις, ἐν ἀγοραῖς, ἐν θεάτροις ὡς καὶ τοῖς βασιλεῦσι γνώριμος ὢν ἐκ γένους, τοῖς πρώτοις συναριθμεῖται συγκλητικοῖς, ἄρχουσι καὶ στρατηγοῖς τοῖς μεγάλα δυναμένοις· ὃς ὀξὺς ὢν κατὰ τὸν Θεμιστοκλέα καὶ Ἀλκιβιάδην, στρατηγὸς ἀναδείκνυται καὶ αὐτὸς καὶ νικᾷ πολέμους πλείστους βαρβαρικοὺς κατὰ κράτος. Ὃν ἰδὼν Ὅμηρος εἶπεν ἂν σοφὸν βουλάς τε ἐξάρχειν ἀγαθάς, πόλεμόν τε κηρύσσειν· καὶ ὅσα ἄλλα τοὺς ἥρωάς τε καὶ ῥήτορας· καὶ ἀνδρειοτάτους τῶν Ἑλλήνων ἔφασκεν ἐπαινῶν, κατὰ τὴν Ἰλιάδα καὶ Ὀδύσσειαν καὶ δέλτον, ἐν ἐμμελίᾳ ποιητικῇ. Ἔχων δὲ μεγαφρονεῖν ἐπὶ τούτοις κατορθώμασι καὶ πλεονεκτήμασι καὶ τὸ καλοῦ παντὸς ἰδέαν ἔχειν ἐν ψυχῇ, οὐδαμῶς τοῦτο ἐποίει· ἀλλὰ ταπεινὸς ἦν καὶ μέτριος, ὅς γε οὐκ εἰκόσιν οὐδὲ στήλαις μεγίσταις ἠξίου θαυμάζεσθαι, καθάπερ πολλοὶ τῶν ἡγεμόνων καὶ στρατηγῶν, ἀλλ᾽ ἔργοις καλλίστοις ἐκείνῳ τε καὶ τῇ ἐκείνου φύσει μάλα προσήκουσιν.

Ἀγαθόνικος οὖν ὁ τροπαιοφόρος οὐ θυμοῦ ῥώμῃ, οὐδ᾽ ὀργῆς ἀμετρίᾳ τὰ ἐπίσημα τῆς ἀρχῆς ἐποιήσατο· ἀλλὰ φιλανθρωπίαν καὶ μεγαλοψυχίαν τὰ κράτιστα εἰσηνέγκατο· ὥσθ᾽ ὅροι εἶναι σωφροσύνης πᾶσιν ἀνθρώποις τὸν ἐκείνου βίον καὶ τρόπον· καὶ μηδένα ἐξευρεῖν ἔχειν βέλτιον τῶν ὑπ᾽ ἐκείνῳ μηδέν· οὕτω γὰρ ψυχὴν ἐῤῥύθμισε καὶ τῶν τῇδε καταφρονεῖν ἀνέπεισε· καὶ πρὸς τὰ βέλτιστα μετεσκεύασε· καὶ οἰκίαν Θεοῦ κατέστησεν ἑαυτόν, καὶ δοχεῖον τοῦ Πνεύματος· εἰ δεῖ κεφάλαιον προσειπεῖν, ὡς μόνην ταύτην οὖσαν εὐδαίμονα βιοτήν· ὃς μόνος ὅρος ἐστὶ τῆς κατ᾽ ἀρετὴν εὐκληρίας καὶ τῆς

www.tezaurliturgic.ro



κατὰ Θεὸν πολιτείας καὶ τάξεως. Τριῶν γὰρ ὄντων, φησὶ Πλάτων, τῶν μερῶν τῆς ψυχῆς, λογιστικόν, θυμικόν, καὶ ἐπιθυμητικόν, καὶ τῶν μὲν τῷ λογιστικῷ χρωμένων ὡς εἰκός, τοῦ θυμοῦ δὲ ἡττωμένων πολλάκις, ἄλλων δὲ ἐπιθυμούντων ἃ μὴ προσῆκε, πάντων δ', ὡς ἔπος εἰπεῖν, οὐδαμοῦ τοῖς ὅλοις τῶν βελτίστων· Ἀγαθόνικος δεινὸν ὥσπερ ἡγούμενος, εἰ μὴ κἂν τούτοις προέχοι τῶν ἄλλων, μηδὲ τὴν μείζω φέροιτο ψῆφον, φρονήσεως μὲν τοσοῦτον μετεῖχεν ὥσπερ ἂν εἰ διὰ βίου παντὸς μόνην ταύτην ἔχει μελέτην τε καὶ σπουδήν, τὸν νοῦν καθαίρειν τε καὶ λεπτύνειν καὶ μηδ' ὅπως τι οὖν ἐλλελεῖφθαι· τοῦ λογιστικοῦ τοῦτό γε εἰδὼς ἀρετὴν καὶ δύναμιν τῆς τῶν ἀνθρώπων εὐδαιμονίας ποιητικήν· ἀφροσύνην δὲ τὴν κάκιστα ἀπολλυμένην, καθάπαξ ἀπεβάλετο ἐκ νεότητος· γλώττης δὲ τοσοῦτον ἐκράτησεν ὅσον Ἀνάχαρσις ἐκέλευσεν ὁ σοφός· καὶ κατὰ τὸν Σάμιον Πυθαγόραν, ἔλεγεν ὅτι πάσῃ μηχανῇ περικοπτέον, ἀπὸ μὲν σώματος νόσον, ἀπὸ δὲ ψυχῆς ἀμαθίαν, καὶ πρὸς τὸ μηδέν, δέον μὴ καταναλίσκειν λόγους· καὶ ὡς ἐν κεφαλαίῳ φάναι, ἐκ πάντων τῶν αἰσθήσεων ἀμετρίαν καὶ μὴ ἔξω τοῦ καιροῦ πίπτειν. Θυμοῦ δὲ τοσοῦτον ἐκράτησεν ὡς καὶ τὴν χεῖρα ἀπαιωρηθεῖσαν πολλάκις κατασχεῖν καὶ μηδαμῶς τύψαι τὸν ἑαυτοῦ δοῦλον· μηδ' αὖ διὰ γλώττης λοιδορίαν κατεγνωσμένην προσενεγκεῖν· φιλανθρωπίαν δὲ οὕτως ἐφίλησε καὶ κατώρθωσε· καὶ οὕτω ταύτης ἐξείχετο, ὡς μανικός τις ἦν ἐραστής· καὶ κατὰ τὸν θεῖον χρησμόν, τὸν πλησίον ὡς ἑαυτὸν ἄγειν καὶ τιμᾶν, ἴσον τῇ ἑαυτοῦ κεφαλῇ. Καρτερίᾳ δὲ μεγίστῃ καὶ ἀνδρείᾳ προσεῖχε καὶ μεγαλοψυχίᾳ, ὡς καὶ ἔξωθεν ἐπιφερομένους κινδύνους μηδέν τι νομίζειν καὶ ἀποδειλιᾶν· οὐ χρημάτων ἀφαίρεσιν· οὐ πλῆθος οἰκιῶν· οὐκ ἀνδράποδα· οὐκ αὐτὸ τὸ περιεῖναι καὶ ζῆν· οὐκ ἄλλο τοιοῦτον οὐδέν, εἰ μὴ μόνον τὸ ἐκπεσεῖν τῆς τοῦ Θεοῦ φιλίας καὶ οἰκειότητος· παρθενίαν δὲ καὶ σωφροσύνην τὴν πλησίον καὶ μετὰ ἀγγέλων τοὺς ἀνθρώπους τιθεῖσαν, τίς οὕτως ὡς οὗτος ἠγάπησεν;

Θεὸς τοὺς δοξάζοντας αὐτὸν δοξάζει καὶ τὸν αὐτοῦ μάρτυρα Ἀγαθόνικον, σὺν πολλῷ τῷ περιόντι καὶ τὴν τῶν θαυμάτων ἐνέργειαν ἀποχαρίζεται ἐκ τότε καὶ μέχρι τοῦ νῦν, κατὰ τὴν πόλιν τοῦ Σήλυος, καθ' ἣν δῆτα καὶ ἡ τούτου μαρτυρία γεγένηται περιφανῶς καὶ ἐνδόξως· καθάπερ ἐδόξασε καὶ ἐν ἄλλαις πόλεσιν ἑτέρους μάρτυρας ὡς ἴσμεν· τόν τε περιφανῆ δηλαδὴ καὶ τροπαιοφόρον Γεώργιον, ἐν Καππαδοκίᾳ τῆς Καισαρείας· τόν τε στεφανίτην καὶ μυροβλύτην Δημήτριον ἐν Θετταλίᾳ· ἐν Τύρῳ τὸν περίβλεπτον καὶ θεῖον Θεόδωρον· καὶ ἐν ἄλλαις ἄλλους, καὶ ἑτέρους ἐν ἑτέραις· καὶ μάλα εἰκότως. Εἰ γὰρ τοῖς Ἕλλησι πάλαι, τοῖς τε Θηβαίοις λέγω Πίνδαρον παρασχέσθαι καὶ Βοιωτοῖς Ἡσίοδον καὶ Σμυρναίοις Ὅμηρον καὶ ἄλλοις ἄλλον εἰς φιλοτιμίαν φέρει, πόσῳ μᾶλλον εἰκὸς μέγα φρονεῖν ἐπὶ τῷ μάρτυρι Ἀγαθονίκῳ, τῷ γενναίῳ τῆς ἀληθείας ἀγωνιστῇ. Ὁπόσοι γὰρ τηνικαῦτα ἐν τῇ περιφανεῖ πόλει Σηλυμβρίᾳ καὶ τοῖς περὶ αὐτὴν χωρίοις πονήρως καὶ ἀσθενῶς κατέ-

www.tezaurliturgic.ro



κειντο, ἐλθόντες τῇ τοῦ θείου μάρτυρος τούτου σορῷ ἀπηλλάττοντο καὶ οὐδὲ ἴχνος ἀσθενείας ὅλως κατείχοντο. Ὅθεν καὶ τῷ μεγαλομάρτυρι Ἀγαθονίκῳ τὰς εὐχαριστίας καὶ ὑμνῳδίας προσέφερον. Οὐχ ἧττον δ' ἐξ ἐκείνου καὶ ὁσημέραι τοιαῦτα ποιεῖ θαυμάσια ἡ θεία κάρα αὐτοῦ, ἐσαεὶ ἰάσεις ἐπιτελοῦσα καὶ θεραπεύουσα πᾶσαν νόσον καὶ πᾶσαν μαλακίαν· τὸ γὰρ ἕτερον σῶμα, ἄλλος ἄλλο μέρος, καὶ ἕτερος ἕτερον τῶν εὐσεβῶν τῶν τε πόῤῥω καὶ τῶν ἐγγὺς ἐξ ἀγάπης διαμερισάμενος παρ' ἑαυτοῖς κατείχοντο φυλακτήριον· ἔνιοι δέ φασιν ὡς Λατῖνοι αὐτὸ ἐφευρηκότες μᾶλλον ἐνταυθεῖ, ἡνίκα τὴν βασιλεύουσαν πόλιν κατέσχον, καὶ ταύτην τοῦ Σήλυος πρόσγε ταῖς ἄλλαις, ἀφείλοντο τὸ τοῦ μάρτυρος σῶμα, καὶ πρὸς τὴν πρεσβυτέραν Ῥώμην ἐπήγαγον, καθάπερ καὶ ἄλλα πλεῖστα τῶν ἁγίων λειψανων. Τὴν γὰρ βασιλίδα τῶν πόλεων κατασχόντες οἱ Ἰταλοὶ χρόνους ἑπτὰ πρὸς τοῖς πεντήκοντα τούτοις δουλεύουσαν ἀνοχῇ καὶ παραχωρήσει Θεοῦ, οἱ καὶ ἀφῃρημένοι πάντα τὰ προσόντα αὐτῇ κάλλιστα ἔργα θαύματος καὶ ἐκπλήξεως γέμοντα καὶ ἡδονῆς ἀῤῥήτου, Φειδίου, φημί, καὶ Πραξιτέλους· ἔτι δὲ χρυσὸν καὶ ἄργυρον καὶ διαυγεῖς μαργάρους καὶ λίθους τιμίους καὶ πολυτελεῖς καὶ πέπλα θεῖα καὶ ἱερὰ ἔκ τε τῶν θείων ναῶν, ἔκ τε τῶν βασιλείων οἴκων, ἔκ τε τῶν συγκλητικῶν ἀνδρῶν καὶ τῶν οἰκητόρων ταυτησὶ τῆς πόλεως. Αὖθις Θεοῦ βουλομένου ὁ στρατηγικώτατος βασιλεὺς Μιχαὴλ Παλαιολόγος πρῶτος ὁ Ἄγγελος, τούτους ἐξέωσεν· ὃς ἐν τοῖς πρώτοις ἀριστεύσας καὶ τὰ πρεσβεῖα πάντων τῶν πώ ποτε βασιλέων ἀνειληφώς, ἐν τοῖς τελευταίοις οἴμοι φθόνῳ τούτοις καλοῖς βασκαίνοντας τὰ ἐκείνων φρονῶν εὑρέθη· καὶ ταύτῃ γε μάλιστα τὸ πλεῖστον τῆς δόξης, ἢ τόγε ἀληθέστερον εἰπεῖν, σύμπαν ἀφείλετό τε καὶ περιῄρητο· καὶ ἐν τῇ τοῦ Σήλυος ταύτῃ πόλει κατὰ τὴν τοῦ Σωτῆρος καὶ πανελεήμονος Χριστοῦ μονὴν τὸ αὐτοῦ σῶμα κατακείμενον, καθορᾶται ὀγκούμενος, διὰ τὴν προβᾶσαν τῶν δογμάτων διαφοράν· προσέτι γε μήν, καὶ διὰ τὸν προσφωνηθέντα κατ' αὐτοῦ ἀφορισμὸν παρὰ τοῦ ἁγιωτάτου καὶ θειοτάτου πατριάρχου Ἀρσενίου· ὡς σφετερισάμενον ξὺν δόλῳ τε τῆς βασιλείας ἀρχὴν ἐξ υἱοῦ Θεοδώρου τοῦ Λασκάρης. Οὐκοῦν τοιαῦτα ποιεῖ θαυμάσια ἡ θεία κάρα τοῦ μάρτυρος διηνεκῶς, ἰάσεις ἐπιτελοῦσα εἰς πάθη παντοδαπά· εἴς τε ἀλγηδόνας κεφαλῶν· καὶ ἀῤῥωστίας σωμάτων· εἰς διακαεῖς πυρετούς τε καὶ ῥιγώσεις... Δηλώσει δὲ νῦν ὁ λόγος τρία τινὰ τῶν ἐκείνου θαυμάτων τῶν πάλαι καὶ νῦν· τὰ δ' ἄλλα ἑκὼν ὑπερβήσομαι. Βασιλεὺς Μανουὴλ ὁ Πορφυρογέννητος...*

---

* Τὸ τέλος τοῦ ἐγκωμίου τούτου ἐλλείπει παρὰ Migne (154, 1229), ἀντ' αὐτοῦ δὲ τίθεται λατινιστὶ περίληψις, ἣν καὶ μεταφέρομεν ἐνταῦθα ἐν μεταφράσει, ὡς διασῴζουσαν πολυτίμους πληροφορίας ὡς πρὸς τὰ ὑπὸ τοῦ Ἁγίου τελεσθέντα θαύματα. Τὰ ἐντὸς εἰσαγωγικῶν πλάγια ἐν τῷ κειμένῳ ἑλληνιστί.

Βασιλεὺς Μανουὴλ ὁ Πορφυρογέννητος... διὰ τῶν εὐχῶν τοῦ ἁγίου Ἀγαθονίκου ἐκ τῆς κεφαλαλγίας ἠλευθερώθη, καὶ ἵδρυσε πρὸς τιμὴν τούτου

www.tezaurliturgic.ro



*«τὸν καθολικὸν ναὸν τουτονὶ»* καὶ *«ἐξ ἀρχιεπισκοπῆς πατριαρχικῆς, προεβίβασεν εἰς μητρόπολιν προσηκόντως τὴν αὐτοῦ ἐκκλησίαν καὶ πόλιν»* (Σηλυβρίαν). Ἄλλο θαῦμα. *«Ἀλέξιος ὁ μέγας δοὺξ, ὃς ἦν εἷς τῶν ἀποκαύκων καὶ κρείττων τοῦ γένους»* ὑπὸ τοῦ ἁγίου μάρτυρος ἔκ τινος κινδύνου λυτρωθεὶς ὡραιότατον ἄλλον ναὸν ἵδρυσε, *«κατὰ τὰς Ἄμμους, ἐν ᾧ ὁ ἅγιος τετελείωται τὸν μαρτυρικὸν δίαυλον»*, ὅστις ναὸς *«ἔτι περισώζεται καὶ καθορᾶται»*. Τρίτον θαῦμα: *«καὶ πρὸ βραχέος ὁ πάντ' ἄριστος βασιλεὺς Ἰωάννης Παλαιολόγος»* ἀπὸ νόσου ἐλυτρώθη ὅτε τὴν *«κάραν»* τοῦ μάρτυρος ἐφρόντισαν νὰ προσκομίσουν πρὸς αὐτόν.



Θερμόταται ὀφείλονται εὐχαριστίαι πρὸς τὴν ΧΑΡΤΟΠΟΙ-Ι-ΑΝ ΑΙΓΙΟΥ ἥτι-
διέθεσε δωρεὰν τὸν χάρτην ἐκτυπώσεως τοῦ παρόντος βιβλίου.

www.tezaurliturgic.ro

# ΠΕΡΙΕΧΟΜΕΝΑ

ΠΡΟΛΟΓΟΣ . . . . . . . . . . . . . . . . Σελ. 7

ΑΚΟΛΟΥΘΙΑ ΤΟΥ ΑΓΙΟΥ ΑΓΑΘΟΝΙΚΟΥ

Α' Εἰς τὸν Ἑσπερινὸν . . . . . . . . » 9

Β' Εἰς τὸν Ὄρθρον . . . . . . . . . . » 19

Γ' Εἰς τὴν Λειτουργίαν . . . . . . . . » 31

ΒΙΟΣ ΤΟΥ ΑΓΙΟΥ ΑΓΑΘΟΝΙΚΟΥ . . . . . » 33

ΙΣΤΟΡΙΚΟΝ ΥΠΟΜΝΗΜΑ . . . . . . . . . » 36

ΜΑΡΤΥΡΙΟΝ ΤΟΥ ΑΓΙΟΥ ΑΓΑΘΟΝΙΚΟΥ . . » 39

ΕΓΚΩΜΙΟΝ ΕΙΣ ΤΟΝ ΑΓΙΟΝ (Ἀναστασίου Κυαίστορος) . . . . . . . . . . . . . » 47

ΕΓΚΩΜΙΟΝ ΕΙΣ ΤΟΝ ΑΓΙΟΝ (Φιλοθέου Σηλυβρίας) . . . . . . . . . . . . . . . » 57

www.tezaurliturgic.ro

## ΕΡΓΑ ΤΟΥ ΙΔΙΟΥ

1. Συμβολὴ εἰς τὴν Κατηχητικὴν (Ἀθῆναι 1949).

2. Ἡ Θεία Λειτουργια του εν Αγιοις Πατρὸς ἡμῶν Ἰωάννου τοῦ Χρυσοστόμου (ἀπὸ χειρογράφου τοῦ ΙϚ' αἰῶνος) (Ἀθῆναι 1950).

3. Τὰ πρῶτα βήματα στὸ δρόμο τοῦ Θεοῦ (Ἀθῆναι 1951).

4. Συνοπτικὸν κτιτορικὸν Ἱερᾶς Μονῆς Μεγάλου Σπηλαίου (Πάτραι 1951).

www.tezaurliturgic.ro

www.tezaurliturgic.ro